1832
1832

# ΙΣΟΚΡΑΤΟΥΣ

## ΛΟΓΟΙ ΚΑΤ' ΕΚΛΟΓΗΝ

ΜΕΤΑ ΣΧΟΛΙΩΝ

ΥΠΟ

**ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ**

ΕΚΔΟΣΙΣ ΤΡΙΤΗ

ΕΙΣ ΤΡΕΙΣ ΤΟΜΟΥΣ ΠΡΟΣ ΧΡΗΣΙΝ ΤΗΣ Α' ΤΑΞΕΩΣ ΤΟΥ ΓΥΜΝΑΣΙΟΥ

ΤΟΜΟΣ Β'

1. Περι Ειρηνης
 ἢ Συμμαχικος
2. Ευαγορας
3. Πλαταϊκος

ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΚΑΤΑΣΤΗΜΑΤΩΝ
ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ
1896

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

1839

# ΙΣΟΚΡΑΤΟΥΣ

## ΛΟΓΟΙ ΚΑΤ' ΕΚΛΟΓΗΝ

ΜΕΤΑ ΣΧΟΛΙΩΝ

ΥΠΟ

**ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ**

ΕΚΔΟΣΙΣ ΤΡΙΤΗ

ΕΙΣ ΤΡΕΙΣ ΤΟΜΟΥΣ ΠΡΟΣ ΧΡΗΣΙΝ ΤΗΣ Α' ΤΑΞΕΩΣ ΤΟΥ ΓΥΜΝΑΣΙΟΥ

ΤΟΜΟΣ Β'

1. Περὶ Εἰρήνης ἢ Συμμαχικός
2. Εὐαγόρας
3. Πλαταϊκός

ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΚΑΤΑΣΤΗΜΑΤΩΝ
ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ
1896

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πᾶν ἀντίτυπον μὴ φέρον τὴν κάτωθι σφραγῖδα τῶν Καταστημάτων θεωρεῖται κλοπιμαῖον.

ΚΑΤΑΣΤΗΜΑΤΑ
ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ
ΕΝ ΑΘΗΝΑΙΣ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΠΕΡΙ ΕΙΡΗΝΗΣ

(α΄.) Ἅπαντες μὲν εἰώθασιν[1] οἱ παριόντες[2] ἐνθάδε[3]
ταῦτα μέγιστα φάσκειν εἶναι καὶ μάλιστα σπουδῆς ἄ-
ξια τῇ πόλει, περὶ ὧν ἂν αὐτοὶ μέλλωσι συμβουλεύ-
σειν· οὐ μὴν ἀλλ' εἰ περὶ ἄλλων τινῶν πραγμάτων ἥρ-
μοσε τοιαῦτα προειπεῖν, δοκεῖ μοι πρέπειν καὶ περὶ τῶν
νῦν παρόντων ἐντεῦθεν ποιήσασθαι τὴν ἀρχήν. Ἥκομεν 2
γὰρ ἐκκλησιάσοντες περὶ πολέμου καὶ εἰρήνης, ἃ μεγί-
στην ἔχει δύναμιν[4] ἐν τῷ βίῳ τῷ τῶν ἀνθρώπων, καὶ
περὶ ὧν ἀνάγκη τοὺς ὀρθῶς βουλευομένους ἄμεινον τῶν
ἄλλων πράττειν. Τὸ μὲν οὖν μέγεθος ὑπὲρ ὧν συνελη-
λύθαμεν, τηλικοῦτόν ἐστιν.

(β΄.) Ὁρῶ δ' ὑμᾶς οὐκ ἐξ ἴσου[5] τῶν λεγόντων[6] τὴν 3
ἀκρόασιν ποιουμένους, ἀλλὰ τοῖς μὲν προσέχοντας τὸν
νοῦν, τῶν δ' οὐδὲ τὴν φωνὴν ἀνεχομένους. Καὶ θαυμα-
στὸν οὐδὲν ποιεῖτε· καὶ γὰρ τὸν ἄλλον χρόνον εἰώθατε

1) Εἰώθασιν] Εἴωθα, παρακμ. β΄ κατὰ σημσ. ἐνστ. τοῦ Ἐπκ. ἁπλῶς ἔθω, συνηθίζω, ἀγαπῶ, ἔχω συνήθειαν· μετὰ ἀπαρμφ. ἐπὶ ἀνθρώπων.

2) Οἱ παριόντες] οἱ παρουσιαζόμενοι, τουτέστιν οἱ δημηγοροῦντες, οἱ ῥήτορες.

3) Ἐνθάδε] Ἐπιρρ. ἐδῶ, εἰς τοῦτον τὸν τόπον· δηλ. ἐν τῇ ἐκκλησίᾳ, ἐπὶ τοῦ βήματος.

4) Δύναμιν] ἐπιρροήν, ἐνέργειαν, σημασίαν.

5) Ἐξ ἴσου τὴν ἀκρόασιν] = ἴσην τὴν ἀκρόασιν.

6) Τῶν λεγόντων] τῶν δημηγορούντων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πάντας τοὺς ἄλλους ἐκβάλλειν[1] πλὴν τοὺς συναγορεύον-
4 τας ταῖς ὑμετέραις ἐπιθυμίαις. Ὃ καὶ δικαίως ἄν τις
ὑμῖν ἐπιτιμήσειεν, ὅτι συνειδότες πολλοὺς καὶ μεγάλους
οἴκους[2] ὑπὸ τῶν κολακευόντων[3] ἀναστάτους γεγενημέ-
νους καὶ μισοῦντες ἐπὶ τῶν ἰδίων τοὺς ταύτην ἔχοντας
τὴν τέχνην, ἐπὶ τῶν κοινῶν οὐχ ὁμοίως διάκεισθε πρὸς
αὐτούς, ἀλλὰ κατηγοροῦντες τῶν προσιεμένων καὶ χαι-
ρόντων τοῖς τοιούτοις αὐτοὶ φαίνεσθαι μᾶλλον τούτοις
5 πιστεύοντες ἢ τοῖς ἄλλοις πολίταις. Καὶ γάρ τοι πεποιή-
κατε τοὺς ῥήτορας μελετᾶν καὶ φιλοσοφεῖν οὐ τὰ μέλ-
λοντα τῇ πόλει συνοίσειν, ἀλλ' ὅπως ἀρέσκοντας[4] ὑμῖν
λόγους ἐροῦσιν. Ἐφ' οὓς καὶ νῦν τὸ πλῆθος αὐτῶν ἐρ-
ρύηκεν[5]. Πᾶσι γὰρ ἦν φανερόν, ὅτι μᾶλλον ἡσθήσεσθε

1) Ἐκβάλλειν] ἐντ. σημ. τὸ ἐκβάλλω, ἀπορρίπτω, ἀποδοκιμάζω. Παθτ. μὲ ἀποβάλλουν, μὲ ἀπορρίπτουν, δὲν ἀρέσκω, ἐξαιρ. ἐπὶ ὑποκριτῶν θεάτρου.

2) Μεγάλους οἴκους = τὰς πλουσίας οἰκογενείας. Ἐκ τοῦ οἶκος παράγεται διὰ τοῦ Διγαμμ. τὸ Λατ. vicus, ὡς τὸ vinum, ἀπὸ τοῦ οἶνος.

3) Ὑπὸ τῶν κολακευόντων] Ὑπὸ τῶν δημηγόρων, οἵ λέγουσιν ὑμῖν ἐν ταῖς ἐκκλησίαις, ὅτι οὐδὲν πώποτε πεπλημμελήκατε.

4) Ὅπως ἀρέσκοντας κτλ.] Τοὺς Ἀθήνησιν ἐπιτρίπτους τούτους κόλακας αἰνίττεται καὶ ὁ Εὐριπίδης (Ἑκάβ. 254).

5) Ἐρρύηκεν] = συνέρρευσεν. Ῥέω, μελ. ῥεύσομαι, Θεογν. 448. ἀόρ. ἔρρευσα· ὁ μέλ. καὶ ἀόρ. σπαν. παρὰ τοῖς Ἀττ. ἐν χρήσει, εὐχρηστότερος δὲ παρ' αὐτοῖς ἐστιν ὁ μέλ. ῥυήσομαι, ἀόρ. ἐρρύην, ἀεὶ ἐπὶ μεταβατ. σημασ. ἐξ ὧν ἐσχημάτιστ. ὁ παρακ. ἐρρύηκα. Κινοῦμαι, τρέχω, φέρομαι, χύνομαι, μὲ ὁρμὴν χέομαι, ἰδίως ἐπὶ ὕδατος, τὸ ὁποῖον τρέχει, ἐφεξῆς δὲ καὶ ἐπὶ αἵματος, ἐπὶ δακρύων, ἱδρῶτος καὶ ἄλλων ῥευστῶν ὑλῶν· μεταφορ. ἐκχέομαι, χύνομαι πλουσιοπαρό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῖς παρακαλοῦσιν[1] ὑμᾶς ἐπὶ τὸν πόλεμον ἢ τοῖς περὶ τῆς εἰρήνης συμβουλεύουσιν. Οἱ μὲν γὰρ προσδοκίαν 6
ἐμποιοῦσιν, ὡς καὶ τὰς κτήσεις τὰς ἐν ταῖς πόλεσι κομιούμεθα καὶ τὴν δύναμιν ἀναληψόμεθα πάλιν, ἣν πρότερον ἐτυγχάνομεν ἔχοντες· οἱ δ᾽ οὐδὲν τοιοῦτον ὑποτείνουσιν[2], ἀλλ᾽ ὡς ἡσυχίαν ἔχειν δεῖ καὶ μὴ μεγάλων ἐπιθυμεῖν παρὰ τὸ δίκαιον ἀλλὰ στέργειν τοῖς παροῦσιν[3],

χως σωρηδὸν ἢ κατὰ πλῆθος πίπτω, καταφέρομαι ὡς π. χ. οἱ ὥριμοι ἢ σεσηπότες καρποὶ πίπτουσιν ἐκ τῶν δένδρων, τὰ φύλλα τῶν δένδρων, αἱ τρίχες ἐκ τῆς κεφαλῆς κ.τ.τ. Ἕτερος τύπος τοῦ ῥέω εἶναι τὸ ῥυέω, μελ. ῥυήσομαι, παρακ. ἐρρύηκα.

1) Παρακαλοῦσιν] παροτρύνουσι, παρακινοῦσιν.

2) Ὑποτείνουσιν] Ὑποτείνω μέλ. ενῶ (τείνω) ὑποκάτω τείνω, τεντόνω, ἐξαπλόνω, β΄. κρατῶ τι τεντωμένον, διευθύνω πρός τι, ὅθεν δεικνύω, ὑπόσχομαι, μετὰ ἀπαρεμφ. Ἡροδτ. 7,158. Θουκυδ. 8,48. καὶ «τινί τι,» οἷον «μισθούς τινι,» Ἀριστφ. Ἀχαρν. 657. κ.τ.τ., γ΄. ὡς ἐνταῦθ· προτείνω, προβάλλω ζήτημα, δ΄. διεγείρω, ἐντείνω, σηκόνω, ἐξωτερικήν τινα, ἢ ἐσωτερικὴν κατάστασιν προξενῶ· «ὀδύνας» προξενῶ, διεγείρω δριμεῖς πόνους· Ἐνταῦθ. οὐδὲν τοιοῦτον ὑποτείνουσιν = οὐδὲν τοιοῦτον προτείνουσι.

3) Στέργειν τοῖς παροῦσιν] Στέργω· ἀγαπῶ, ἐξαιρ. λέγεται ἐπὶ τῆς ἀμοιβαίας ἀγάπης μεταξὺ γονέων καὶ τέκνων, καθὼς καὶ ὁ Φαβωρῖνος ἔχει· «Στέργω κυρίως ἐπὶ τοῦ φυσικοῦ φίλτρου, καὶ μὴ ῥᾳδίως καταλυομένου· ἀφ᾽ οὗ στοργὴ καὶ φιλοστοργία, ἐπὶ πατέρων, μητέρων, καὶ παίδων, Ξενοφ. Οἰκον. ζ΄. 24. «Ὁ θεὸς — τῇ γυναικὶ τοῦ στέργειν τὰ νεογνὰ βρέφη πλεῖον ἐδάσατο, ἢ τῷ ἀνδρί·» ἐν γένει φιλῶ, βλέπω μὲ καλὸν ὄμμα τινὰ κ.τ.τ. β΄. εὐχαριστοῦμαι, εὐχαριστημένος εἰμὶ, ἀρκοῦμαι, καὶ πολλάκις ἀντὶ τοῦ, ὑποφέρω μετὰ αἰτ. «Στέργειν παρόντα» = εἶμαι εὐχαριστημένος μὲ τὴν παροῦσαν κατάστασιν τῶν πραγμάτων, τὰ ὑποφέρω, Ἡροδ. 9,117. Συνηθ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

7 ὃ χαλεπώτατον πάντων τοῖς πλείστοις τῶν ἀνθρώπων ἐστίν. Οὕτω γὰρ ἐξηρτήμεθα τῶν ἐλπίδων καὶ πρὸς τὰς δοκούσας εἶναι πλεονεξίας ἀπλήστως ἔχομεν[1], ὥστ᾽ οὐδ᾽ οἱ κεκτημένοι τοὺς μεγίστους πλούτους μένειν ἐπὶ τούτοις ἐθέλουσιν ἀλλ᾽ ἀεὶ τοῦ πλείονος ὀρεγόμενοι περὶ τῶν ὑπαρχόντων κινδυνεύουσιν. Ὅπερ ἄξιόν ἐστι δεδιέναι, μὴ καὶ νῦν ἡμεῖς ἔνοχοι γενώμεθα ταύταις ταῖς ἀνοίαις·
8 λίαν γάρ τινές μοι δοκοῦσιν ὡρμῆσθαι πρὸς τὸν πόλεμον, ὥσπερ οὐ τῶν τυχόντων συμβεβουλευκότων ἀλλὰ τῶν θεῶν ἀκηκοότες, ὅτι κατορθώσομεν ἅπαντα καὶ ῥαδίως ἐπικρατήσομεν τῶν ἐχθρῶν. (γ΄.) Χρὴ δὲ τοὺς νοῦν ἔχοντας περὶ μὲν ὧν ἴσασι, μὴ βουλεύεσθαι, περίεργον[2] γὰρ, ἀλλὰ πράττειν, ὡς ἐγνώκασι, περὶ ὧν δ᾽ ἂν βουλεύωνται, μὴ νομίζειν εἰδέναι τὸ συμβησόμενον, ἀλλ᾽ ὡς δόξῃ μὲν χρωμένους, ὅ τι ἂν τύχῃ δὲ γενησόμενον,
9 οὕτω διανοεῖσθαι περὶ αὐτῶν. Ὧν[3] ὑμεῖς οὐδέτερον[4] τυγχάνετε ποιοῦντες ἀλλ᾽ ὡς οἷόν τε ταραχωδέστατα διάκεισθε. Συνεληλύθατε μὲν γὰρ, ὡς δέον ὑμᾶς ἐξ ἁπάντων τῶν ῥηθέντων ἐκλέξασθαι τὸ βέλτιστον, ὥσπερ δ᾽ ἤδη σαφῶς εἰδότες, ὃ πρακτέον[5] ἐστίν, οὐκ ἐθέλετ᾽ ἀ-
10 κούειν πλὴν τῶν πρὸς ἡδονὴν δημηγορούντων. Καίτοι

ὅμως μετὰ δοτ. ὡς ἐντθ. στέργειν τοῖς παροῦσιν.

1) Ἀπλήσως ἔχομεν] Ὅρα τόμ. Α' σελ. 29. (Νικοκ. σημ. 2).

2) Περίεργον] Περιττὸν, μάταιον.

3) Ὧν] ἐκ τούτων δέ.

4) Οὐδέτερον] οὔτε τὸ ἓν οὔτε τὸ ἄλλο.

5) Πρακτέον] ῥημτ. ἐπίθ. πράττω. Ὅ,τι πρέπει νὰ πραχθῇ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

προσῆκεν ὑμᾶς, εἴπερ ἠβούλεσθε ζητεῖν τὸ τῇ πόλει συμ-
φέρον, μᾶλλον τοῖς ἐναντιουμένοις ταῖς ὑμετέραις γνώ-
μαις προσέχειν τὸν νοῦν[1] ἢ τοῖς καταχαριζομένοις, εἰδό-
τας, ὅτι τῶν ἐνθάδε παριόντων οἱ μὲν ἃ βούλεσθε λέγον-
τες ῥᾳδίως ἐξαπατᾶν δύνανται, τὸ γὰρ πρὸς χάριν ῥη-
θὲν ἐπισκοτεῖ τῷ καθορᾶν ὑμᾶς τὸ βέλτιστον,[2] ὑπὸ δὲ
τῶν μὴ πρὸς ἡδονὴν συμβουλευόντων οὐδὲν ἂν πάθοιτε
τοιοῦτον· οὐ γὰρ ἔστιν ὅπως ἂν μεταπεῖσαι δυνηθεῖεν 11
ὑμᾶς, μὴ φανερὸν τὸ συμφέρον ποιήσαντες[3]. Χωρὶς δὲ
τούτων πῶς ἂν ἄνθρωποι καλῶς δυνηθεῖεν ἢ κρῖναι περὶ
τῶν γεγενημένων ἢ βουλεύσασθαι περὶ τῶν μελλόντων,
εἰ μὴ τοὺς μὲν λόγους τοὺς τῶν ἐναντιουμένων παρ' ἀλ-
λήλους ἐξετάζοιεν, αὐτοὶ δ' αὑτοὺς κοινοὺς ἀμφοτέροις
ἀκροατὰς παράσχοιεν; (δ'.) Θαυμάζω[4] δὲ τῶν τε πρε- 12

1) Προσέχειν τὸν νοῦν] Προσηλόνω, στρέφω τὸν νοῦν, τὴν ψυχήν, ἐπί τι, προσεκτικὸς εἰμὶ ἐπί τι, προσοχὴν δίδωμι, σπουδάζω, ἐπικύπτω, παρατηρῶ, περιεργάζομαι, κυττάζω καλά, προσεκτικῶς ἔχω τὸν νοῦν μου πρός τι ἢ ἐπί τι.

2) Τὸ γὰρ πρὸς χάριν ῥηθέν.... τὸ βέλτιστον] Τοῦτο μὲν οὖν, οὑτωσὶ ῥηθέν, ἐνθύμημα καλεῖται παρὰ τοῖς ῥήτορσιν (ἐνθύμημα = τρόπος τις συλλογισμοῦ, ἐπειδὴ ἀπὸ τοῦ ἐνθυμήματος συμπεραίνεται τὸ περαιτέρω), ἢ μᾶλλον ἐνθυμήματος μέρος τοῦ, Καίτοι προσῆκεν ὑμᾶς, εἴπερ ἠβούλεσθε ζητεῖν τὸ τῇ πόλει συμφέρον κτλ., τὴν αἰτίαν ἐπιφέρον, δι' ἣν προσήκει τοὺς Ἀθηναίους τοῖς ἐναντιουμένοις μᾶλλον ἢ τοῖς καταχαριζομένοις προσέχειν τὸν νοῦν.

3) Μὴ φανερὸν τὸ συμφέρον ποιήσαντες] ἂν μὴ ποιήσωσι φανερὸν τὸ συμφέρον.

4) Θαυμάζω] ὡς καὶ παρ' ἡμῖν. Θαυμάζω, ἐξίσταμαι, β'. μτβ. μετὰ αἰτ. ἄγαμαι, ἐκπλήσ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σβυτέρων, εἰ μηκέτι μνημονεύουσι, καὶ τῶν νεωτέρων, εἰ μηδενὸς ἀκηκόασιν, ὅτι διὰ μὲν τοὺς παραινοῦντας ἀντέχεσθαι τῆς εἰρήνης οὐδὲν πώποτε κακὸν ἐπάθομεν, διὰ δὲ τοὺς ῥᾳδίως τὸν πόλεμον αἱρουμένους πολλαῖς ἤδη καὶ μεγάλαις συμφοραῖς περιεπέσομεν. Ὧν ἡμεῖς οὐδεμίαν ποιούμεθα μνείαν ἀλλ' ἑτοίμως[1] ἔχομεν, μηδὲν εἰς τοὔμπροσθεν ἡμῖν αὐτοῖς πράττοντες,[2] τριήρεις πλη-

σομαι, κυττάζω τι μὲ ἔκπληξιν, μὲ θαυμασμόν· καὶ κατὰ περιληπτικωτέραν ἔννοιαν τιμῶ, ἀγαπῶ, σέβομαι, ἐπαινῶ, ζηλῶ, εὔχομαι νὰ ἤμην καὶ ἐγὼ ὡς αὐτός. γ'. Θαυμάζω, μοὶ φαίνεται παράδοξος, παράξενός τις, ἢ παραξενεύομαι τίποτε, μετὰ γεν. ἀλλὰ καὶ μετ' αἰτ. ἐνίοτε, σπανιώτ. πρός τι. δ'. «Θαυμάζω, εἰ, ὅπως, ὡς, ὅτι.» Θαυμάζω, μοὶ φαίνεται παράξενον ἄν, πῶς, διότι—καὶ μετὰ τοῦ εἰ, ὅταν τὸ πρᾶγμα ᾖ μὲν δυνατὸν, ὄχι βέβαιον ὅμως· μετὰ τοῦ ὅτι δὲ, ὅταν τὸ πρᾶγμα ᾖ βέβαιον, πεπραγμένον.

1) Ἑτοίμως] = προθύμως.

2) Μηδὲν εἰς τοὔμπροσθεν ἡμῖν αὐτοῖς πράττοντες] πειρατέον τὸν νοῦν τοῦ χωρίου, ἡρμηνευμένου τῷ Οὐολφίῳ, διὰ τοῦ, «Μηδὲν προκόπτοντες διὰ τούτων, καὶ μηδὲν ὠφελούμενοι,» ἐπὶ μᾶλλον σαφηνίσαι τῇ τῶν παραπλησίων παραθέσει. Τὴν οὖν παρ' Εὐριπίδῃ (Ἑκάβ. 960) ταύτην ῥῆσιν, .... Ἀλλὰ ταῦτα μὲν, τί δεῖ θρηνεῖν, ΠΡΟΚΟΠΤΟΝΤ' ΟΥΔΕΝ ΕΙΣ ΠΡΟΣΘΕΝ κακῶν; ὁ σχολιαστὴς ἐξηγούμενός φησιν, «Ἀλλὰ ταῦτα μὲν τὰ κακὰ κατὰ τί δεῖ θρηνεῖν, ἐμὲ δηλονότι, οὐδαμῶς προκόπτοντα καὶ προερχόμενον εἰς τὸ ἔμπροσθεν τῶν κακῶν, ὅ ἐστιν, οὐ κατόπιν ἐῶντα τὰ κακά.» Τοῦτο δὲ συντομώτερον Εὐριπίδου ἐξέφρασεν Ἀλκαῖος (παρ' Ἀθην. 1, σελ. 430) «Οὐ χρὴ κακοῖσιν θυμὸν ἐπιτρέπειν. Προκόψομεν γὰρ οὐδὲν ἀσάμενοι.» Τοιοῦτό τι καὶ τοῦ Πλάτωνος (Πολιτικ. 1, σελ. 604) «Κάλλιστον ὅτι μάλιστα ἡσυχίαν ἄγειν ἐν ταῖς ξυμφοραῖς, καὶ μὴ ἀγανακτεῖν, ὡς οὔτε δήλου ὄντος τοῦ ἀγαθοῦ τε καὶ κακοῦ τῶν τοιούτων, οὔτε ΕΙΣ ΤΟ ΠΡΟΣΘΕΝ ΟΥΔΕΝ ΠΡΟΒΑΙ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ροῦν καὶ χρημάτων εἰσφορὰς ποιεῖσθαι καὶ βοηθεῖν καὶ
πολεμεῖν οἷς ἂν τύχωμεν, ὥσπερ ἐν ἀλλοτρίᾳ τῇ πόλει
κινδυνεύοντες. Τούτων δ' αἴτιόν ἐστιν, ὅτι, προσῆκον ὑμᾶς 13
ὁμοίως ὑπὲρ τῶν κοινῶν ὥσπερ ὑπὲρ τῶν ἰδίων σπουδά-
ζειν[1], οὐ τὴν αὐτὴν γνώμην ἔχετε περὶ αὐτῶν, ἀλλ' ὅ-
ταν μὲν ὑπὲρ τῶν ἰδίων βουλεύησθε, ζητεῖτε συμβού-
λους τοὺς ἄμεινον φρονοῦντας ὑμῶν αὐτῶν, ὅταν δ' ὑπὲρ
τῆς πόλεως ἐκκλησιάζητε, τοῖς μὲν τοιούτοις ἀπιστεῖτε
καὶ φθονεῖτε, τοὺς δὲ πονηροτάτους τῶν ἐπὶ τὸ βῆμα
παριόντων ἀσκεῖτε[2] καὶ νομίζετε δημοτικωτέρους εἶναι

ΝΟΝ τῷ χαλεπῶς φέροντι,» ὥσπερ ἐχρήσατο καὶ Πλούτ. ἐν τῷ πρὸς Ἀπολλώνιον παραμυθητικῷ. Ὡς τοίνυν τὸ τοῦ Πλάτ. Εἰς τὸ πρόσθεν προβαίνειν, οὕτω καὶ τὸ τοῦ Ἰσοκρ. Εἰς τοὔμπροσθεν πράττειν, μόνῃ σχεδὸν τῇ λέξει διαφέρει τοῦ Εὐριπιδείου, εἰς πρόσθεν προκόπτειν. Τοῦτο δὲ κυρίως μὲν ἐπὶ τῶν πρό τινος κοπτόντων τὴν ἄνοδίαν ποιούσας ὕλας καὶ ὁδοποιούτων τοῖς πρόσω βαίνειν βουλομένοις, οἷα μάλιστα φιλεῖ γίνεσθαι ἐν τοῖς πορευομένοις στρατοπέδοις· μεταφορικῶς δὲ καὶ ἐπὶ παντὸς ἔργου. Ἐκδηλότερον δὲ τὴν μεταφορὰν ἐποίησε Θουκ. 4, 60 καὶ μεταβατικῶς χρησάμενος τῷ προκόπτειν τ. ἔ. ἐπὶ τοῦ ἑτέροις εὐχερῆ ποιεῖν τὴν εἰς τὰ πρόσω χώρησιν. Ὁ Ἰσοκ. ἐχρήσατο τῷ πράττοντες ἀντὶ τοῦ προκόπτοντες, τοῦ νοῦ μηδὲν ὡς εἰπεῖν παραλλάττοντος· ἔστι γὰρ μηδὲν ἑαυτοῖς ποιοῦντες ὧν χρὴ ποιεῖν τοὺς εἰς τοὔμπροσθεν προχωρῆσαι βουλομένους.

— 1) Προσῆκον..... σπουδάζειν] ὁ νοῦς. Καίπερ ἐχρῆν τῶν τῆς πόλεως πραγμάτων ὥσπερ τῶν ἰδίων φροντίζειν, ὑμεῖς τὸ ἐναντίον ποιεῖτε.

2) Ἀσκεῖτε] ἐντθ. τὸ ἀσκέω ἔχει τὴν σημ. τοῦ, τιμῶ, σέβομαι, θεραπεύω. «Δαίμονα ἀσκεῖν,» ἀντὶ τοῦ λατρεύειν, τιμᾶν, σέβεσθαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοὺς μεθύοντας[1] τῶν νηφόντων[2] καὶ τοὺς νοῦν οὐκ ἔχοντας τῶν εὖ φρονούντων καὶ τοὺς τὰ τῆς πόλεως διανεμομένους τῶν ἐκ τῆς ἰδίας οὐσίας ὑμῖν λειτουργούντων. Ὥστ' ἄξιον θαυμάζειν, εἴ τις ἐλπίζει τὴν πόλιν τοιούτοις συμβούλοις χρωμένην ἐπὶ τὸ βέλτιον ἐπιδώσειν.

14 (ε΄.) Ἐγὼ δ' οἶδα μέν, ὅτι πρόσαντές[3] ἐστιν ἐναντιοῦσθαι ταῖς ὑμετέραις διανοίαις, καὶ ὅτι δημοκρατίας οὔσης οὐκ ἔστι παρρησία[4], πλὴν ἐνθάδε μὲν τοῖς ἀφρονεστάτοις καὶ μηδὲν ὑμῶν φροντίζουσιν, ἐν δὲ τῷ θεάτρῳ τοῖς κωμῳδοδιδασκάλοις[5]· ὃ καὶ πάντων ἐστὶ δεινότατον, ὅτι τοῖς μὲν ἐκφέρουσιν εἰς τοὺς ἄλλους Ἕλληνας τὰ τῆς πόλεως ἁμαρτήματα τοσαύτην ἔχετε χάριν[6], ὅσην οὐδὲ τοῖς εὖ ποιοῦσι, πρὸς δὲ τοὺς ἐπιπλήττοντας καὶ

1) Μεθύοντας] Μεθύειν παρὰ τοῖς ῥήτορσι, ὁ ὑπὲρ τοῦ δέοντος, ἤτοι κατὰ κόρον στολισμὸς καὶ καλλωπισμὸς τοῦ ὕφους τοῦ λόγου.

2) Νηφόντων] Νήφω, μελ. νήψω, νηφάλιος εἰμί, ἐξαιρ. δὲν πίνω κρασί, εἶμαι ἀμέθυστος· μεταφορ. δέ, ὡς ἐνταῦθα, μέτριος εἰμί, σώφρων, φρόνιμος.

3) Πρόσαντες] κυρίως μὲν ἰσοδυναμεῖ τῷ, ἄναντες, τῷ σημαίνοντι τὸ ἀνωφερὲς καίπερ τοῦ Σουΐδα (λέξ. Ἄναντες) διαφέρειν λέγοντος θάτερον τοῦ ἑτέρου· μεταφορικῶς δέ, ταὐτὸν ἂν εἴη τῷ, δυσχερές, ἀηδές, ὡς ἐξηγεῖται Ἡσύχιος.

4) Παρρησία] Ἐξουσία, ἄδεια τοῦ λαλεῖν, παρὰ τὸ πᾶς, καὶ τὸ, ῥῆσις· καί, παρρησιάζομαι, τὸ ἀδεῶς ἐν ἅπασι λέγω.

5) Κωμῳδοδιδασκάλοις] τοῖς ποιοῦσι καὶ διδάσκουσι τὰς κωμῳδίας, οἷος ἦν Ἀριστοφάνης, ὁ τοσαῦτα καὶ τοιαῦτα σκώψας τοὺς Ἀθηναίους, ὡς καὶ αὐτὸν ἔσθ' ὅτε, συνορόντα τὸν ἀπὸ τούτου κίνδυνον, κολάζειν ἐπιχαρίτως πάνυ τὸ ἄκρατον τῆς παρρησίας, (Ἀχαρν. 501 καὶ 515).

6) Ἔχετε χάριν] = γνωρίζετε χάριν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νουθετοῦντας ὑμᾶς οὕτω διατίθεσθε δυσκόλως ὥσπερ
πρὸς τοὺς κακόν τι τὴν πόλιν ἐργαζομένους. Ὅμως δὲ 15
καὶ τούτων ὑπαρχόντων οὐκ ἂν ἀποσταίην ὧν διενοήθην. Παρελήλυθα γὰρ οὐ χαριούμενος ὑμῖν οὐδὲ χειροτονίαν μνηστεύσων[1], ἀλλ᾽ ἀποφανούμενος, ἃ τυγχάνω γιγνώσκων πρῶτον μὲν περὶ ὧν οἱ πρυτάνεις[2] προτιθέασιν, ἔπειτα περὶ τῶν ἄλλων τῶν τῆς πόλεως πραγμάτων· οὐδὲν γὰρ ὄφελος ἔσται τῶν νῦν περὶ τῆς εἰρήνης γνωσθέντων, ἢν μὴ καὶ περὶ τῶν λοιπῶν ὀρθῶς βουλευσώμεθα. (ϛ΄.) Φημὶ δ᾽ οὖν χρῆναι ποιεῖσθαι τὴν εἰρήνην 16
μὴ μόνον πρὸς Χίους καὶ Ῥοδίους καὶ Βυζαντίους[3], ἀλλὰ πρὸς ἅπαντας ἀνθρώπους, καὶ χρῆσθαι ταῖς συνθήκαις

1) Οὐδὲ χειροτονίαν μνηστεύσων] Οὐδὲ τοῦτο σπουδάζων, ὅπως διὰ τῆς χειροτονίας ψηφίσεσθε ἃ μέλλω λέξιν.

2) Πρυτάνεις] Ἰδίως ἐν Ἀθήναις ἦσαν πρυτάνεις τὸ δέκατον μέρος τῆς βουλῆς τῶν Πενταχοσίων, ἐκλεγόμενον κατὰ κλῆρον, ἄρα πάντοτε πεντήκοντα ἄνδρες ἐκ μιᾶς καὶ τῆς αὐτῆς φυλῆς, οἵτινες 35 ἢ 36 ἡμέρας κατ᾽ ἐνιαυτὸν διῴκουν ἅπαντα τὰ τῆς βουλῆς· προστάζοντες, εἰσηγούμενοι, ψηφίζοντες, κ.τ.τ. Οὗτοι συνέτρωγον πάσας ταύτας τὰς ἡμέρας ἐν τῷ Θόλῳ ἤτοι ἐν τῷ Πρυτανείῳ, ἔχοντες παρομοίως καὶ τὴν προεδρίαν καὶ εἰσήγησιν εἰς τὰς συνελεύσεις καὶ ἐκκλησίας τοῦ δήμου, καὶ ἐντεῦθεν Πρόεδρος, καὶ Πρύτανις, ἔστιν ἓν καὶ τὸ αὐτὸ πρόσωπον.

3) Βυζαντίους] οἱ κάτοικοι τοῦ Βυζαντίου. Βυζάντιον, πόλις τῆς Θρᾴκης, κειμένη ἐπὶ τῆς μεσημβρινῆς εἰσόδου τοῦ Θρᾳκικοῦ Βοσπόρου, ἔνθα νῦν εὑρίσκεται ἡ Κωνσταντινούπολις. Ἦν δὲ αὕτη ἀρχαία ἀποικία τῶν Μεγαρέων, κτισθεῖσα πρῶτον ὡς λέγεται ὑπὸ τοῦ Βύζαντος (Βύζας-αντος, υἱὸς τοῦ Ποσειδῶνος καὶ τῆς Κροέσσης), ὕστερον δὲ αὐξηθεῖσα καὶ κοσμηθεῖσα ὑπὸ τῶν Μιλησίων καὶ ἄλλων Ἑλληνικῶν λαῶν, οἱ ὁποῖοι συνῆλθον κατὰ καιροὺς εἰς αὐτήν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὴ ταύταις αἷς νῦν τινες γεγράφασιν, ἀλλὰ ταῖς γενομέναις μὲν πρὸς βασιλέα καὶ Λακεδαιμονίους, προσταττούσαις δὲ τοὺς Ἕλληνας αὐτονόμους εἶναι καὶ τὰς φρουρὰς ἐκ τῶν ἀλλοτρίων πόλεων ἐξιέναι[1] καὶ τὴν αὐτῶν ἔχειν ἑκάστους. Τούτων γὰρ οὔτε δικαιοτέρας εὑρήσομεν οὔτε μᾶλλον τῇ πόλει συμφερούσας.

17 (ζʹ.) Ἢν μὲν οὖν ἐνταῦθα καταλίπω τὸν λόγον, οἶδ' ὅτι δόξω τὴν πόλιν ἐλαττοῦν, εἰ Θηβαῖοι μὲν ἕξουσι Θεσπιὰς καὶ Πλαταιὰς[2] καὶ τὰς ἄλλας πόλεις, ἃς παρὰ τοὺς ὅρκους κατειλήφασιν, ἡμεῖς δ' ἔξιμεν μηδεμιᾶς ἀνάγκης οὔσης ἐξ ὧν τυγχάνομεν ἔχοντες· ἢν δὲ διὰ τέλους ἀκούσητέ μου προσέχοντες τὸν νοῦν, οἶμαι πάντας ὑμᾶς καταγνώσεσθαι πολλὴν ἄνοιαν καὶ μανίαν τῶν τὴν ἀδικίαν πλεονεξίαν[3] εἶναι νομιζόντων καὶ τῶν τὰς ἀλλοτρίας πόλεις βίᾳ κατεχόντων καὶ μὴ λογιζομένων τὰς
18 συμφορὰς τὰς ἐκ τῶν τοιούτων ἔργων γιγνομένας. Ταῦτα μὲν οὖν διὰ παντὸς τοῦ λόγου πειρασόμεθα διδάσκειν[4] ὑμᾶς. (ηʹ.) Περὶ δὲ τῆς εἰρήνης πρῶτον διαλεχθῶμεν καὶ

1) Ἐξιέναι]=ἐξελθεῖν.

2) Θεσπιὰς καὶ Πλαταιὰς] ὅρα τόμ. Αʹ σελ. 75, Ἀρχιδ. σημ. 1. καὶ 2.

3) Πλεονεξίαν] Κέρδος· ἐπὶ καλοῦ γὰρ ἐνταῦθα ἡ λέξις.

4) Διδάσκειν] ἐκ τοῦ πειρασόμεθα. Διδάσκω=δίδω διδασκαλίαν, ἢ μάθημα ἢ τύπον καὶ ὑπογραμμὸν, κανόνα· ἐκθέτω, παριστάνω, ἀναπτύσσω, δεικνύω, ἀποδεικνύω τι σαφῶς καὶ ἐντελῶς. Παράγ. ἐκ τοῦ δάω, δάσκω· ὡς παρ' Ὁμηρ. Ὀδ. Θ· 448 «ὅν ποτέ μιν δέδαε φρεσὶ πότνια Κίρκη,» ἀντὶ τοῦ ἐδίδαξεν· ὅθεν καὶ δαίω, δάημι, Ὀδυσ. Π. 346 «Γυναῖκες δεδάασθαι, μαθήσεσθαι.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σκεψώμεθα, τί ἂν ἐν τῷ παρόντι γενέσθαι βουληθεῖμεν
ἡμῖν. Ἢν γὰρ ταῦτα καλῶς ὁρισώμεθα καὶ νοῦν ἐχόν-
τως[1], πρὸς ταύτην τὴν ὑπόθεσιν ἀποβλέποντες ἄμεινον
βουλευσόμεθα καὶ περὶ τῶν ἄλλων.

(θ΄.) Ἆρ' οὖν ἂν ἐξαρκέσειεν ἡμῖν, εἰ τήν τε πόλιν 19
ἀσφαλῶς οἰκοῖμεν καὶ τὰ περὶ τὸν βίον εὐπορώτεροι γι-
γνοίμεθα καὶ τά τε πρὸς ἡμᾶς αὐτοὺς ὁμονοοῖμεν καὶ
παρὰ τοῖς Ἕλλησιν εὐδοκιμοῖμεν ; ἐγὼ μὲν γὰρ ἡγοῦ-
μαι τούτων ὑπαρξάντων τελέως[2] τὴν πόλιν εὐδαιμο-
νήσειν. Ὁ μὲν τοίνυν πόλεμος ἁπάντων ἡμᾶς τῶν εἰ-
ρημένων ἀπεστέρηκεν· καὶ γὰρ πενεστέρους ἐποίησε καὶ
πολλοὺς κινδύνους ὑπομένειν ἠνάγκασε καὶ πρὸς τοὺς
Ἕλληνας διαβέβληκε καὶ πάντας τρόπους τεταλαιπώ-
ρηκεν[3] ἡμᾶς. Ἢν δὲ τὴν εἰρήνην ποιησώμεθα, καὶ 20
τοιούτους ἡμᾶς αὐτοὺς παράσχωμεν, οἵους αἱ κοιναὶ
συνθῆκαι προστάττουσι, μετὰ πολλῆς μὲν ἀσφαλείας
τὴν πόλιν οἰκήσομεν, ἀπαλλαγέντες πολέμων καὶ κιν-
δύνων καὶ ταραχῆς[4], εἰς ἣν νῦν πρὸς ἀλλήλους καθέ-

1) Νοῦν ἐχόντως] ἀντὶ τοῦ νουνεχόντως γνωστικῷ τῷ τρόπῳ.

2) Τελέως] Ἐπιρρ. ἐκ τοῦ τέλεος. Ἐντελῶς, τελείως, παντελῶς, ὁλοτελῶς, ὑπερβαλλόντως, κατὰ πάντα. Ξενοφ. Ἀγησ. ια' 16. «Οὕτω τελέως ὁ ἀνὴρ τῇ πατρίδι ὠφέλιμος.» καὶ Ἡροδ. 1. 120.

3) Τεταλαιπώρηκεν] καταπεπόνηκεν, ἑρμηνεύει ὁ Προσχιανὸς (ΙΗ, σελ. 1206) τὸ τεταλαιπώρηκεν.

4) Ἀπαλλαγέντες πολέμων καὶ κινδύνων καὶ ταραχῆς]. Τούτοις παράθες τὰ τοῦ χαρίεντος Ἀριστοφάνους Εἰρήν. 292.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σταμεν[1], καθ' ἑκάστην δὲ τὴν ἡμέραν πρὸς εὐπορίαν ἐπιδώσομεν, ἀναπεπαυμένοι μὲν τῶν εἰσφορῶν καὶ τῶν τριηραρχιῶν καὶ τῶν ἄλλων τῶν περὶ τὸν πόλεμον λειτουργιῶν, ἀδεῶς[2] δὲ γεωργοῦντες καὶ τὴν θάλατταν πλέοντες καὶ ταῖς ἄλλαις ἐργασίαις ἐπιχειροῦντες, αἵ
21 νῦν διὰ τὸν πόλεμον ἐκλελοίπασιν. Ὀψόμεθα δὲ τὴν πόλιν διπλασίας μὲν ἢ νῦν τὰς προσόδους λαμβάνουσαν, μεστὴν δὲ γιγνομένην ἐμπόρων καὶ ξένων καὶ μετοίκων[3], ὧν νῦν ἐρήμη καθέστηκεν. Τὸ δὲ μέγιστον, συμμάχους ἕξομεν ἅπαντας ἀνθρώπους, οὐ βεβιασμένους ἀλλὰ πεπεισμένους, οὐδ' ἐν ταῖς μὲν ἀσφαλείαις διὰ τὴν δύναμιν ἡμᾶς ὑποδεχομένους, ἐν δὲ τοῖς κινδύνοις ἀποστησομένους, ἀλλ' οὕτω διακειμένους ὥσπερ χρὴ τοὺς ὡς ἀληθῶς συμμάχους καὶ φίλους ὄντας.
22 Πρὸς δὲ τούτοις ἃ νῦν ἀπολαβεῖν οὐ δυνάμεθα διὰ πολέμου καὶ πολλῆς δαπάνης, ταῦτα διὰ πρεσβείας ῥᾳδίως κομιούμεθα. Μὴ γὰρ οἴεσθε μήτε Κερσοβλέπτην[4]

1) Καθέσταμεν] Ἔστι τὸ καθέσταμεν, ᾧ καὶ Θουκυδ. στ. ιη' καὶ ἕτεροι· ἐχρήσαντο, ἀντὶ τοῦ, καθίσταμεν, ἐνεργητικοῦ, ἀμεταβάτως ἐκλαμβανόμενον ἀντὶ τοῦ, καθιστάμεθα, παρὰ τὸ θέμα, ἔστημι.

2) Ἀδεῶς] ἐπιρρ. (ἀδεὴς) Ἄνευ φόβου καὶ κινδύνου.

3) Μετοίκων] Ἐν Ἀθήναις ἐλέγοντο μέτοικοι οἱ ἐνοικοῦντες ξένοι ἐν τῇ πόλει, οἵτινες ἐπλήρωνον ἀνὰ δώδεκα δραχμὰς τοῦ ἐνιαυτοῦ εἰς τὸ δημόσιον διὰ τὴν ὑπεράσπισιν, ἣν ἀπελάμβανον παρὰ τῆς πόλεως, χωρὶς ὅμως νὰ ἔχωσι τὰ δίκαια τοῦ πολίτου. Λατ. inquilinus.

4) Κερσοβλέπτην] Κερσοβλέπτης, ἡγεμὼν τῆς Θρᾴκης, σύγχρονος τοῦ Δημοσθένους, ὅστις ἐχάρισεν εἰς τοὺς Ἀθηναίους τὴν χώραν τῆς Χερσονήσου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὑπὲρ Χερρονήσου[1] μήτε Φίλιππον ὑπὲρ Ἀμφιπόλεως[2] πολεμήσειν, ὅταν ἴδωσιν ἡμᾶς μηδενὸς τῶν ἀλλοτρίων ἐφιεμένους. Νῦν μὲν γὰρ εἰκότως φοβοῦνται γείτονα ποιήσασθαι τὴν πόλιν ταῖς αὑτῶν δυναστείαις· ὁρῶσι 23
γὰρ ἡμᾶς οὐ στέργοντας ἐφ᾽ οἷς ἂν ἔχωμεν, ἀλλ᾽ ἀεὶ τοῦ πλείονος ὀρεγομένους· ἢν δὲ μεταβαλώμεθα τὸν τρόπον καὶ δόξαν βελτίω λάβωμεν, οὐ μόνον ἀποστήσονται τῆς ἡμετέρας ἀλλὰ καὶ τῆς αὑτῶν προσδώσουσι· λυσιτελήσει γὰρ αὐτοῖς θεραπεύουσι τὴν δύναμιν τὴν τῆς πόλεως ἀσφαλῶς ἔχειν τὰς αὑτῶν βασιλείας. Καὶ μὲν δὴ καὶ τῆς Θρᾴκης ἡμῖν ἐξέσται το- 24
σαύτην ἀποτεμέσθαι χώραν ὥστε μὴ μόνον αὐτοὺς ἄφθονον ἔχειν ἀλλὰ καὶ τοῖς δεομένοις τῶν Ἑλλήνων καὶ δι᾽ ἀπορίαν πλανωμένοις ἱκανὸν δύνασθαι βίον παρασχεῖν. Ὅπου γὰρ Ἀθηνόδωρος[3] καὶ Καλλίστρα-

1) Χερρονήσου] Χερρόνησος Ἀττικ. ἀντὶ Χερσόνησος· οἱ διὰ τοῦ ρρ ἀντὶ ρσ τύπ. εὑρηνται συνήθεις παρὰ τοῖς ὕστερον Ἀττικιστ. μετὰ τὸν Θουκυδίδην: Χερρόνησος, ἡ Θρᾳκία ἢ Θρᾳκική. Ἡ ἐπὶ τῆς Θρᾴκης Χερσόνησος, κειμένη μεσημβρινῶς μεταξὺ τοῦ Μέλανος κόλπου καὶ τοῦ Ἑλλησπόντου, ἀπολήγουσα διὰ τῆς Σαρπηδονίας ἄκρας, τῆς ὁποίας τὰ παράλια κατείχοντο ἀρχαιόθεν ὑπὸ Ἑλληνικῶν ἀποικιῶν· τανῦν Χερσόνησος τῶν Δαρδανελίων. Στράβ. ἔτι καὶ ἰδίως ἡ Χερσόνησος καλουμένη. Ἡροδτ. 6, 3. Θουκ. α᾽, 11. ἡ ἐν Ἑλλησπόντῳ, παρ᾽ Ἡροδτ. 7, 33, ἡ κατ᾽ ἀντιπέρας Ἀβύδου. Ξενφ. Ἀνάβ. α᾽. 1, 9.

2) Ἀμφιπόλεως] ὅρα Τόμ. Α᾽. σ. 91. Ἀρχδ. σημ. 8.

3) Ἀθηνόδωρος] Ἀθηνόδωρος Ἀθηναῖος τῷ γένει στρατιώτης. Οἴεται ὁ Οὔλφιος οὐκ ἀπιθάνως τὸν Ἀθηνόδωρον τοῦτον τὸν αὐτὸν εἶναι καὶ τὸν παρὰ τῷ Δημοσθένει (κατὰ Ἀριστοκράτ.) μνημονευόμενον, τὸν ἀντιπράττοντα Κερσοβλέπτῃ τῷ Θρᾳκῶν δυνάστῃ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τος[1], ὁ μὲν ἰδιώτης ὤν[2], ὁ δὲ φυγάς[3], οἰκίσαι πόλεις οἷοί τε γεγόνασιν, ἢ που βουληθέντες ἡμεῖς πολλοὺς ἂν τόπους τοιούτους κατασχεῖν δυνηθεῖμεν. Χρὴ δὲ τοὺς πρωτεύειν ἐν τοῖς Ἕλλησιν ἀξιοῦντας τοιούτων ἔργων ἡγεμόνας γίγνεσθαι πολὺ μᾶλλον ἢ πολέμου καὶ στρατοπέδων ξενικῶν, ὧν νῦν ἐπιθυμοῦντες ἡμεῖς τυγχάνομεν.

25 (ι΄.) Περὶ μὲν οὖν ὧν οἱ πρέσβεις[4] ἐπαγγέλλονται, καὶ ταῦθ' ἱκανὰ καὶ πόλλ' ἂν ἴσως τις προσθείη τούτοις· ἡγοῦμαι δὲ δεῖν ἡμᾶς[5] οὐ μόνον ψηφισαμένους τὴν εἰρήνην ἐκ τῆς ἐκκλησίας ἀπελθεῖν ἀλλὰ καὶ βουλευσαμένους, ὅπως ἄξομεν αὐτὴν καὶ μὴ ποιήσομεν, ὅπερ εἰώθαμεν, ὀλίγον χρόνον διαλιπόντες πάλιν εἰς τὰς αὐτὰς καταστησόμεθα ταραχάς, μηδ' ἀναβολὴν ἀλλ' ἀπαλλαγὴν εὑρήσομέν τινα τῶν κακῶν τῶν παρόντων.

26 Οὐδὲν δὲ τούτων οἷόν τ' ἐστὶ γενέσθαι πρότερον, πρὶν

1) Καλλίστρατος] Περίφημος δημαγωγὸς καὶ στρατηγὸς τῶν Ἀθηναίων μετὰ τοῦ Ἰφικράτους εἰς τὸν κατὰ τῆς Σπάρτης πόλεμον, ὅστις ἐξερράγη μετὰ τὴν εἰρήνην τοῦ Ἀνταλκίδα. Τοῦτον ἐμιμήθη πρὸ πάντων ὁ Δημοσθένης εἰς τὴν ῥητορείαν. Ξενοφ. Ἑλλ. στ'. 2, 39. Δημ. κατὰ Τιμ.

2) Ὁ μὲν ἰδιώτης ὤν] ὁ Ἀθηνόδωρος.

3) Ὁ δὲ φυγάς] Ὁ Καλλίστρατος, οὗ τῆς φυγῆς μνημονεύει καὶ Δημοσθένης πρὸς Πολυκλ. καὶ Λυκοῦργος κατὰ Λεωκράτ. κβ.

4) Οἱ πρέσβεις] ἄδηλον εἴτε Ἀθήνησι τηνικαῦτα ἐπιδημοῦντας Χίων, Ῥοδίων καὶ Βυζαντίων πρέσβεις λέγει, εἴτε καὶ τῶν Ἀθηναίων αὐτῶν ἐκεῖθεν ἐπανελθόντας.

5) Ἡγοῦμαι δὲ δεῖν ἡμᾶς κ.τ.λ.] Τὰ ἐντεῦθεν μέχρι τῆς § ιη' μετήνεγκεν ὁ ῥήτωρ καὶ εἰς τὸν περὶ τῆς Ἀντιδόσεως § κδ' καὶ ἑξῆς, παραλλάττοντα μέν τοι ἔστιν ἐν οἷς τῇ γραφῇ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἂν πεισθῆτε τὴν μὲν ἡσυχίαν ὠφελιμωτέραν καὶ κερδαλεωτέραν εἶναι τῆς πολυπραγμοσύνης[1], τὴν δὲ δικαιοσύνην τῆς ἀδικίας, τὴν δὲ τῶν ἰδίων ἐπιμέλειαν τῆς τῶν ἀλλοτρίων ἐπιθυμίας. Περὶ ὧν οὐδεὶς πώποτε[2] τῶν ῥητόρων εἰπεῖν ἐν ὑμῖν ἐτόλμησεν[3]· ἐγὼ δὲ περὶ αὐτῶν τούτων τοὺς πλείστους τῶν λόγων μέλλω ποιεῖσθαι πρὸς ὑμᾶς· ὁρῶ γὰρ τὴν εὐδαιμονίαν ἐν τοιούτοις ἐνοῦσαν, ἀλλ' οὐκ ἐν οἷς νῦν τυγχάνομεν πράττοντες.
Ἀνάγκη δὲ τὸν ἔξω τῶν εἰθισμένων ἐπιχειροῦντα δη- 27
μηγορεῖν καὶ τὰς ὑμετέρας γνώμας μεταστῆσαι βουλόμενον πολλῶν πραγμάτων ἅψασθαι[4] καὶ διὰ μακρο-

1) Π ο λ υ π ρ α γ μ ο σ ύ ν η ς] Πολυπραγμοσύνη ὁ χαρακτὴρ, τὸ ἔργον, τὸ πολίτευμα τοῦ πολυπράγμονος· τὸ πολλὰ ἐν ταὐτῷ πράττειν, ἐνεργεῖν, ἀνακατόνεσθαι, ἐμβαίνειν εἰς πολλὰς ξένας ὑποθέσεις, ἡ περιέργεια, τὸ ἐρευνᾶν καὶ ἐξετάζειν τὰς τῶν ἄλλων ὑποθέσεις ἐκ περιεργείας, ἢ ἐκ φιλοκερδείας, ὅθεν παρὰ Ξενοφ. Ἀθην. Πολ. 6' 18 «Διὰ πολυπραγμοσύνην, καὶ διὰ τὸ ζητεῖν πλέον τι ἔχειν τοῦ δήμου».

2) Π ώ π ο τ ε](πώ, ποτὲ) συνηθ. ἡγουμένου ἀρνητικοῦ μορίου. Ἀκόμη ποτὲ· οὐδεμίαν φορὰν ἀκόμη, ἢ οὐδέποτε ἀκόμη. 6'.) Ἄνευ ἀρνήσ. ἔσθ' ὅτε παρὰ τοῖς Ἀττ. «ὅ σοι ἐμοῦ πώποτε ἀκηκόατε,» ὅσοι ἐτύχετε ποτὲ, ἢ ἅπαξ νὰ μὲ ἀκούσητε, Πλάτ. καὶ ἐν ἐρωτήσει «τίσι πώποτε συμβέβηκε ;» εἰς ποίους νὰ συνέβη ἄρα ποτέ ; ὅρα καὶ Τόμ. Α'. σελ. 81 Ἀρχδ. σημ. 1.

3) Ε ἰ π ε ῖ ν ἐ ν ὑ μ ῖ ν ἐ τ ό λ μ η σ ε ν] ἐτόλμησε νὰ εἴπῃ ἐνώπιον ὑμῶν.

4) Ἅ ψ α σ θ α ι] Ἅπτομαι μελ. ἅψομαι μέσον τοῦ ἅ π τ ω. (Συντασ. μετὰ γενικ. σπανίως δὲ καὶ μόνον παρὰ Πινδ. μετὰ δοτ., καὶ μετὰ αἰτ. μόνον ὅτε σημ. συνδέω. ἑνόνω.) Ψηλαφῶ, ἐγγίζω, πιάνω τί· καὶ μεταφ. ἀρχινῶ τὶ, ἐπιχειρῶ, βάλλω χέρι. Οἱ Ἀττ. μετεχειρίζοντο τοῦτο τὸ ῥῆμα εἰς ὅλα, ὅσα δύναται νὰ πιάνῃ τις ἢ νὰ μεταχειρίζηται, κυρίως ἔρ-



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τέρων τοὺς λόγους ποιήσασθαι, καὶ τὰ μὲν ἀναμνῆσαι, τῶν δὲ κατηγορῆσαι, τὰ δ᾽ ἐπαινέσαι, περὶ δὲ τῶν συμβουλεῦσαι· μόλις γὰρ ἄν τις ὑμᾶς ἐξ ἁπάντων τούτων ἐπὶ τὸ βέλτιον φρονῆσαι δυνηθείη προαγαγεῖν[1].

28 (ιά.) Ἔχει γὰρ οὕτως. Ἐμοὶ δοκοῦσιν ἅπαντες μὲν ἐπιθυμεῖν τοῦ συμφέροντος καὶ τοῦ πλέον ἔχειν τῶν ἄλλων, οὐκ εἰδέναι δὲ τὰς πράξεις τὰς ἐπὶ ταῦτα φερούσας ἀλλὰ ταῖς δόξαις διαφέρειν ἀλλήλων· οἱ μὲν γὰρ ἔχειν[2] ἐπιεικεῖς καὶ στοχάζεσθαι τοῦ δέοντος δυναμένας, οἱ δ᾽ ὡς οἷόν τε πλεῖστον τοῦ συμφέροντος διαμαρτανούσας.

29 Ὅπερ καὶ τῇ πόλει συμβέβηκεν. Ἡμεῖς γὰρ οἰόμεθα μέν, ἢν τὴν θάλατταν πλέωμεν πολλαῖς τριήρεσι καὶ βιαζώμεθα τὰς πόλεις συντάξεις[3] διδόναι καὶ συνέδρους ἐνθάδε πέμπειν, διαπράξεσθαί τι τῶν δεόντων· πλεῖστον δὲ διεψεύσμεθα[4] τῆς ἀληθείας. Ὧν μὲν γὰρ ἠλπίζομεν, οὐδὲν ἀποβέβηκεν, ἔχθραι δ᾽ ἡμῖν ἐξ αὐτῶν καὶ πόλεμοι καὶ δαπάναι μεγάλαι γεγόνασιν,

30 εἰκότως[5]· καὶ γὰρ τὸ πρότερον ἐκ μὲν τῆς τοιαύτης

γων καὶ λόγων ἅψασθαι, ἀντὶ ἐπιχειρεῖν μίαν δουλειὰν, ἀρχίζειν μίαν ὁμιλίαν. Ἅπτω· παράγεται ἐκ τοῦ ἀχρ. ἅπω, τὸ προσκολλῶ, ὅθεν καὶ τὸ Λατιν. aptus, καὶ aptare.

1) Προαγαγεῖν] Προάγω· παρακινῶ, προτρέπω, βιάζω τινὰ εἴς τι, διεγείρω, ὀτρύνω.

2) Οἱ μὲν γὰρ ἔχειν] δηλ. δόξας

3) Συντάξεις] ὅρα Τόμ. Α′ Ἀρεοπαγ. § 2, σημ. 4.

4) Διεψεύσμεθα] Διαψεύδομαι· γελῶμαι, ἀπατῶμαι, πλανῶμαι, ἀποτυγχάνω, ὡς, «Διεψεύσθη τῆς ἐλπίδος·» καὶ «Διαψευσθεὶς ὑπὸ τῆς ἀρρωστίας τῆς νῦν μοι παρούσης,» Ἰσοκρ.

5) Εἰκότως] ἐπιρρ. Ἀττ. μετχ. παρκ. ἔοικα, εἶκα. Κατὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πολυπραγμοσύνης εἰς τοὺς ἐσχάτους κινδύνους κατέστημεν, ἐκ δὲ τοῦ δικαίαν τὴν πόλιν παρέχειν καὶ βοηθεῖν τοῖς ἀδικουμένοις καὶ μὴ τῶν ἀλλοτρίων ἐπιθυμεῖν παρ' ἑκόντων τῶν Ἑλλήνων τὴν ἡγεμονίαν ἐλάβομεν· ὧν νῦν ἀλογίστως καὶ λίαν εἰκῆ[1] πολὺν ἤδη χρόνον
καταφρονοῦμεν. (ιδ'). Εἰς τοῦτο γάρ τινες ἀνοίας ἐλη- 31
λύθασιν, ὥσθ' ὑπειλήφασι τὴν μὲν ἀδικίαν ἐπονείδιστον μὲν εἶναι, κερδαλέαν δὲ καὶ πρὸς τὸν βίον τὸν καθ' ἡμέραν συμφέρουσαν, τὴν δὲ δικαιοσύνην εὐδόκιμον μέν, ἀλυσιτελῆ[2] δὲ καὶ μᾶλλον δυναμένην τοὺς ἄλλους ὠφε-
λεῖν ἢ τοὺς ἔχοντας αὐτήν, κακῶς εἰδότες, ὡς οὔτε 32
πρὸς χρηματισμὸν οὔτε πρὸς δόξαν οὔτε πρὸς ἃ δεῖ πράττειν οὔθ' ὅλως πρὸς εὐδαιμονίαν οὐδὲν ἂν συμβάλοιτο τηλικαύτην δύναμιν, ὅσην περ ἀρετὴ καὶ τὰ μέρη ταύτης[3]. Τοῖς γὰρ ἀγαθοῖς οἷς ἔχομεν ἐν τῇ ψυχῇ, τούτοις κτώμεθα καὶ τὰς ἄλλας ὠφελείας, ὧν δεόμενοι

πιθανόν, ἐνδεχόμενον τρόπον, καθὼς ἐνδέχεται, ἠμπορεῖ νὰ γένῃ, φυσικῶς, κατὰ φυσικὸν λόγον κ.τ.τ

1) Εἰκῆ] ἀστόχαστα, ἀπερίσκεπτα, ἀνωφελῶς, τοῦ κάκου.

2) Ἀλυσιτελῆ] ἀλυσιτελής ὁ, ἡ, ἀνωφελής, οὐδενὸς ἄξιος, οὐδὲν ὠφελῶν «φίλον μὲν ἀλυσιτελῆ, συμφέροντα δ' ἐχθρὸν ἐμφανίζει» Δημοσθ. Συμ. ἐπιβλαβής, ἐπιζήμιος.

3) Ἀρετὴ καὶ τὰ μέρη ταύτης] μέρη τῆς ἀρετῆς θεωρεῖ ὁ Ἰσοκρ. τὴν σωφροσύνην, τὴν δικαιοσύνην καὶ τὴν εὐσέβειαν· ὡς καὶ ἐν Νικ. 29. «Οἶμαι γὰρ ἐγὼ πάντας ἂν ὁμολογῆσαι πλείστου τῶν ἀρετῶν ἀξίας εἶναι τήν τε σωφροσύνην καὶ τὴν δικαιοσύνην·» καὶ ἐν τῷ παρόντι λόγῳ 33 «οἴεται τοὺς τὴν εὐσέβειαν καὶ τὴν δικαιοσύνην κ.τ.λ.» καὶ 63 «τήν τ' εὐσέβειαν καὶ τὴν σωφροσύνην καὶ τὴν δικαιοσύνην καὶ τὴν ἄλλην ἀρετήν»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τυγχάνομεν· ὥσθ᾽ οἱ τῆς αὑτῶν διανοίας ἀμελοῦντες
λελήθασι σφᾶς αὑτοὺς ἅμα τοῦ τε φρονεῖν ἄμεινον καὶ
33 τοῦ πράττειν βέλτιον ὀλιγωροῦντες. Θαυμάζω δ᾽ εἴ τις
οἴεται τοὺς τὴν εὐσέβειαν καὶ τὴν δικαιοσύνην ἀσκοῦν-
τας καρτερεῖν καὶ μένειν ἐν τούτοις, ἐλπίζοντας ἔλατ-
τον ἕξειν τῶν πονηρῶν, ἀλλ᾽ οὐχ ἡγουμένους καὶ παρὰ
θεοῖς καὶ παρ᾽ ἀνθρώποις πλέον οἴσεσθαι τῶν ἄλλων.
Ἐγὼ μὲν γὰρ πέπεισμαι τούτους μόνους ὧν δεῖ πλεο-
34 νεκτεῖν, τοὺς δ᾽ ἄλλους ὧν οὐ βέλτιόν ἐστιν[1]. Ὁρῶ γὰρ
τοὺς μὲν τὴν ἀδικίαν προτιμῶντας καὶ τὸ λαβεῖν τι
τῶν ἀλλοτρίων μέγιστον ἀγαθὸν νομίζοντας ὅμοια πά-
σχοντας τοῖς δελεαζομένοις τῶν ζῴων[2], καὶ κατ᾽ ἀρ-
χὰς μὲν ἀπολαύοντας ὧν ἂν λάβωσιν, ὀλίγῳ δ᾽ ὕστερον
ἐν τοῖς μεγίστοις κακοῖς ὄντας, τοὺς δὲ μετ᾽ εὐσεβείας
καὶ δικαιοσύνης ζῶντας ἔν τε τοῖς παροῦσι χρόνοις ἀσφα-
λῶς διάγοντας καὶ περὶ τοῦ σύμπαντος αἰῶνος ἡδίους
35 τὰς ἐλπίδας ἔχοντας. Καὶ ταῦτ᾽ εἰ μὴ κατὰ πάντων

1) Τοὺς δ᾽ ἄλλους, ὧν οὐ βέλτιόν ἐστιν]. Τοὺς δὲ λοιποὺς, τουτέστι τοὺς πονηροὺς, πέπεισμαι πλεονεκτεῖν ἐκείνοις τοῖς πράγμασιν, ἐν οἷς οὐ συμφέρει πλέον ἔχειν τῶν ἄλλων.

2) Τοῖς δελεαζομένοις τῶν ζῴων] Δελεάζω· πλανῶ, ἀπατῶ, σύρω δηλ. τὰ ζῷα εἰς ἓν μέρος, ἢ μὲ τὴν φωνὴν, ἢ μὲ τὸ φαγί, καὶ τὰ πιάνω· καὶ τὸ δολώνω, ὡς «Δελεάσας τὸ ἄγκιστρον ἰσχάδι» Λουκιαν. ὅθεν καὶ ἐπὶ ἀνθρώπων, ἐξαπατῶ τινα, παγιδεύω, πιάνω μὲ δόλον καὶ τὸν φέρω εἰς τὸ θέλημά μου. Μέσ. σύρω, ἑλκύω πρὸς ἐμαυτὸν μὲ δόλον καὶ παθητ. ἀπατῶμαι, πλανῶμαι εἰς τὸ δόλωμα, Ξενοφ. «Γαστρὶ δελεάζομαι.» Γίνεται ἐκ τοῦ ἀρχαίου δέλω· ὅθεν δελάω, δελεάζω, καὶ δέλεαρ καὶ ἐκ τοῦ δέδολα, τὸ, δόλος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὕτως εἴθισται συμβαίνειν, ἀλλὰ τό γ' ὡς ἐπὶ τὸ πολὺ τοῦτον γίγνεται τὸν τρόπον[1]. Χρὴ δὲ τοὺς εὖ φρονοῦντας, ἐπειδὴ τὸ μέλλον ἀεὶ συνοίσειν οὐ καθορῶμεν, τὸ πολλάκις ὠφελοῦν, τοῦτο φαίνεσθαι προαιρουμένους. Πάντων δ' ἀλογώτατον πεπόνθασιν, ὅσοι κάλλιον μὲν ἐπιτήδευμα νομίζουσιν εἶναι καὶ θεοφιλέστερον τὴν δικαιοσύνην τῆς ἀδικίας, χεῖρον δ' οἴονται βιώσεσθαι τοὺς ταύτῃ χρωμένους τῶν τὴν πονηρίαν προῃρημένων.

(ιγ΄.) Ἠβουλόμην δ' ἄν, ὥσπερ προσῆκόν ἐστιν ἐπαι- 36
νεῖσθαι τὴν ἀρετήν, οὕτω πρόχειρον εἶναι πεῖσαι τοὺς ἀκούοντας ἀσκεῖν αὐτήν· νῦν δὲ δέδοικα, μὴ μάτην τὰ τοιαῦτα λέγωμεν. Διεφθάρμεθα[2] γὰρ πολὺν ἤδη χρόνον ὑπ' ἀνθρώπων οὐδὲν ἀλλ' ἢ φενακίζειν[3] δυναμένων, οἳ τοσοῦτον τοῦ πλήθους καταπεφρονήκασιν, ὥσθ' ὁπόταν βουληθῶσι πόλεμον πρός τινας ἐξενεγκεῖν, αὐτοὶ χρήματα λαμβάνοντες[4] λέγειν τολμῶσιν, ὡς χρὴ τοὺς

1) Τοῦτον τὸν τρόπον] =τοιαύτης λογῆς, τοιουτοτρόπως.

2) Διεφθάρμεθα] τὸν νοῦν, ἢ τὴν φρόνησιν, ἢ δῆλον ἀλλαχόθεν (Παναθηναϊκὸς § οθ΄.) «καὶ τὴν φρόνησιν διαφθαρεῖσι.»

3) Φενακίζειν] φενακίζω· ἐξαπατῶ· πλανῶ τινα· προσποιοῦμαι, πλάττω τι ψευδές, διαφθείρω τι, μετ' αἰτιατ.

4) Φενακίζειν.... αὐτοὶ χρήματα λαμβάνοντες] Τὸ δὲ λεγόμενον ὅμοιον οἷς παρὰ τῷ Κωμικῷ ('Αχαρν. 90) Δικαιόπολις τῆς εἰρήνης ἐφιέμενος, μέμφεται τοῖς παρὰ τῶν Περσῶν βασιλέως ἐπανιοῦσι πρέσβεσι, καὶ πέμψειν χρυσίον εἰς τὸν πόλεμον τὸν βασιλέα φάσκουσι,

Ταῦτ' ἆρ' ἐφενάκιζες σύ,
δύο δραχμὰς φέρων·

Τοσοῦτος γὰρ ἐδέδοτο μισθὸς τῆς ἡμέρας τοῖς πρέσβεσι. Κἀκεῖνα μὲν κατὰ τὸν Πελοποννησιακὸν ἐγένετο πόλεμον· εἰκὸς δὲ καὶ κατὰ τὸν Συμμαχικὸν καλούμε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

προγόνους μιμεῖσθαι, καὶ μὴ περιορᾶν ἡμᾶς αὐτοὺς καταγελωμένους, μηδὲ τὴν θάλατταν πλέοντας τοὺς μὴ
37 τὰς συντάξεις ἐθέλοντας ἡμῖν ὑποτελεῖν. (ιδ´.) Ἡδέως ἂν οὖν αὐτῶν πυθοίμην, τίσιν ἡμᾶς τῶν προγεγενημένων κελεύουσιν ὁμοίους γίγνεσθαι, πότερα τοῖς περὶ τὰ Περσικὰ γενομένοις ἢ τοῖς πρὸ τοῦ πολέμου τοῦ Δεκελεικοῦ[1] τὴν πόλιν διοικήσασιν; εἰ μὲν γὰρ τούτοις, οὐδὲν ἀλλ᾽ ἢ συμβουλεύουσιν ἡμῖν πάλιν περὶ ἀνδρα-
38 ποδισμοῦ[2] κινδυνεύειν· εἰ δὲ τοῖς Μαραθῶνι τοὺς βαρ-

νον τοιαῦτά τινα γενέσθαι, τῶν τε ῥητόρων καὶ τῶν στρατηγῶν ἐξαπατώντων τὸν δῆμον κεναῖς ἐλπίσιν· ὧν ἦν καὶ Χάρης, οὗ περ οἶμαι καὶ καθάπτεται ἐνταῦθα ὁ ῥήτωρ. Οὗτος γάρ, ἀπαλλάξαι σπεύδων τοὺς Ἀθηναίους τῆς περὶ τὸν πόλεμον, ὃν ἐστρατήγει, δαπάνης, Ἀρταβάζῳ βασιλέως ἀποστάντι συνεμάχησε παραβόλως, καὶ τοσοῦτον ἔλαβε παρ᾽ ἐκείνου πλῆθος χρημάτων, ὥστε πάσῃ τῇ μετ᾽ αὐτοῦ δυνάμει πορίζειν ἔχειν τὰ ἐπιτήδεια, καθά φησιν ὁ Σικελιώτης Διόδωρος ΙϚ´, κβ´. Δημοσθένης δὲ ἐν τῷ κατὰ Φιλίππου Α´, ἄκοντος Χάρητος Ἀρταβάζῳ συνακολουθῆσαι τὸν στρατὸν φησίν.

1) Πρὸ τοῦ πολέμου τοῦ Δεκελεικοῦ] Δεκελεικὸς πόλεμος ἐλέγετο ὁ Πελοποννησιακὸς πόλεμος ἀπὸ τῆς ἐποχῆς καθ᾽ ἣν οἱ Λακεδαιμόνιοι διὰ συμβουλῆς τοῦ Ἀλκιβιάδου κυριεύσαντες τὴν Δεκέλειαν καὶ ὀχυρώσαντες αὐτήν, ἠρήμουν καὶ ἠφάνιζον τὴν Ἀττικήν. Δημ. Δεκέλεια. (τανῦν Τατόϊ) κώμη καὶ δῆμος Ἀττικῆς ἐπὶ τῶν συνόρων τῆς Βοιωτίας ἀνήκων εἰς τὴν Ἱπποθοωντίδα φυλήν, Ἡροδ. Θουκ. Στραβ. ὅθεν ἐπιρρ. Δεκελειᾶθεν, Ἰωνκ. Δεκελιῆθεν, ἐκ Δεκελείας, Ἡροδ. Δεκελειάζε, εἰς Δεκέλειαν καὶ Δεκελειᾶσι, ἐν Δεκελείᾳ, Στεφ. Βυζ. Ὁ κατοικ. Δεκελιεύς, ἕως.

2) Ἀνδραποδισμοῦ] Ἀνδραποδισμός· μεταβολὴ ἐλευθέρου ἀνθρώπου εἰς δοῦλον ἤτοι σκλάβον, ἐξαιρ. διὰ πωλήσεως, καταδουλώσεως· ἦτο δὲ ὁ ἀνδραποδισμὸς ἐπίταγμα τῆς πολιτικῆς διδόμενον καθ᾽ ὁλοκλήρων αἰχμαλωτιζομένων πόλεων· ὡς πρᾶξις

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βάρους νικήσασι καὶ τοῖς πρὸ τούτων γενομένοις, πῶς
οὐ πάντων ἀναισχυντότατοι τυγχάνουσιν ὄντες, εἰ τοὺς
τότε πολιτευομένους ἐπαινοῦντες τἀναντία πράττειν
ἐκείνοις πείθουσιν ἡμᾶς, καὶ τοιαῦτ' ἐξαμαρτάνειν, περὶ
ὧν ἀπορῶ, τί ποιήσω, πότερα χρήσωμαι ταῖς ἀληθείαις
ὥσπερ περὶ τῶν ἄλλων, ἢ κατασιωπήσω, δείσας τὴν
πρὸς ὑμᾶς ἀπέχθειαν[1]. (ιε΄.) Δοκεῖ μὲν γάρ μοι βέλτιον
εἶναι διαλεχθῆναι περὶ αὐτῶν, ὁρῶ δ' ὑμᾶς χαλεπώ-
τερον διατιθεμένους πρὸς τοὺς ἐπιτιμῶντας ἢ πρὸς τοὺς
αἰτίους τῶν κακῶν γεγενημένους. Οὐ μὴν ἀλλ' αἰσχυν- 39
θείην ἄν, εἰ φανείην μᾶλλον φροντίζων τῆς ἐμαυ-
τοῦ δόξης ἢ τῆς κοινῆς σωτηρίας. Ἐμὸν μὲν οὖν ἔρ-
γον ἐστὶ καὶ τῶν ἄλλων τῶν κηδομένων τῆς πόλεως
προαιρεῖσθαι τῶν λόγων μὴ τοὺς ἡδίστους ἀλλὰ τοὺς
ὠφελιμωτάτους· ὑμᾶς δὲ χρὴ πρῶτον μὲν τοῦτο γιγνώ-
σκειν, ὅτι τῶν μὲν περὶ τὸ σῶμα νοσημάτων πολλαὶ
θεραπεῖαι[2] καὶ παντοδαπαὶ τοῖς ἰατροῖς εὕρηνται, ταῖς

δὲ ἰδιωτῶν· κλοπή, ἁρπαγή, πώλησις ἀνθρώπων. Ξενφ. Ἀπολ. 25. Ἀπομν. Α΄. β΄. 62.

1) Ἀπέχθειαν] μῖσος, ἔχθραν, ἀποστροφήν.

2) Ὅτι τῶν μὲν περὶ τὸ σῶμα νοσημάτων πολλαὶ θεραπεῖαι κτλ.] Φαίνεται ὁ Ἰσοκράτης παρειληφὼς τὴν κομψὴν ταύτην γνώμην ἐξ Αἰσχύλου εἰπόντος (Προμ. δεσμ. 379). «Ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι·» ὅπου τὴν ὀργὴν συνωνύμως ἐκληπτέον εἶναι τῇ ψυχῇ. Παρ' Ἰσοκράτους δὲ καὶ Δημοσθένης ἔπειτα παρειληφώς, καὶ μικρὸν παραλλάξας, οὕτως ἐξήνεγκεν ἐν τῷ τέλει τοῦ κατὰ Ἀριστογείτονος δευτέρου λόγου, «Τὰ μὲν γὰρ ἐν τοῖς σώμασιν ἀρρωστήματα τοῖς τῶν ἰατρῶν εὑρήμασι καταπαύεται· τὰς δ' ἐν ταῖς ψυχαῖς ἀγριότητας αἱ τῶν νομοθετῶν ἐξορίζουσι διάνοιαι»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ ψυχαῖς ταῖς ἀγνοούσαις καὶ γεμούσαις πονηρῶν ἐπιθυμιῶν οὐδέν ἐστιν ἄλλο φάρμακον[1] πλὴν λόγος ὁ τολμῶν τοῖς ἁμαρτανομένοις ἐπιπλήττειν, ἔπειθ᾽ὅτι κατα-
40 γέλαστόν ἐστι τὰς μὲν καύσεις καὶ τὰς τομὰς τῶν ἰατρῶν ὑπομένειν, ἵνα πλειόνων ἀλγηδόνων ἀπαλλαγῶμεν, τοὺς δὲ λόγους ἀποδοκιμάζειν πρὶν εἰδέναι σαφῶς, εἰ τοιαύτην ἔχουσι τὴν δύναμιν ὥστ᾽ ὠφελῆσαι τοὺς ἀκούοντας.

41 (ιϛ΄.) Τούτου δ᾽ ἕνεκα ταῦτα προεῖπον, ὅτι περὶ τῶν λοιπῶν οὐδὲν ὑποστειλάμενος[2] ἀλλὰ παντάπασιν ἀνει-

1) Καὶ γεμούσαις... οὐδὲν ἐστιν ἄλλο φάρμακον] Σημείωσαι τὴν μεταφορὰν τοῦ, γεμούσαις, καὶ τοῦ φάρμακον ἀπὸ τῶν ἐν τῇ σωματικῇ θεραπείᾳ γιγνομένων. Τῷ Φαρμακεύειν γὰρ Ἱπποκράτης κέχρηται ἐπὶ τοῦ κινεῖν διὰ φαρμάκου καὶ καθαίρειν τὴν γαστέρα, τὴν γέμουσαν περιττωμάτων τε καὶ χυμῶν ἀσυμφόρων· καὶ Φαρμακοποσίην, ἢ Φαρμακείην, λέγει τὴν τοιαύτην κάθαρσιν τῆς γαστρός. Καλεῖ δέ που (Ἐπιδημ. Ε΄. σελ. 767) καὶ κατ᾽ἐξοχὴν Φάρμακον αὐτὸν τὸν ἐλλέβορον, ᾧπερ ἐχρῶντο πολλάκις εἰς κάθαρσιν ἄλλων τε, καὶ τῶν μαινομένων. Ἡ δὲ συνήθεια ἰδίως, Φαρμάκια καλεῖ τὰ δηλητήρια τῶν φαρμάκων, οὐδὲ ταύτης ἀγνώστου τοῖς ἀρχαίοις οὔσης τῆς ἐκδοχῆς, καὶ Φαρμακεύω, ὡς καὶ παρὰ τῷ Στράβωνι (σελ. 699) ἢ Φαρμακόνω, τὸ διὰ φαρμάκου ἀναιρῶ.

2) Οὐδὲν ὑποστειλάμενος] ὑποστέλλω· κάτω ἢ πρὸς τὰ κάτω στέλλω, ἕλκω, σύρω, συστέλλω, μαζόνω, ἐξαιρέτως «Ἱστία ὑποστέλλω» μαζόνω τὰ πανία τοῦ πλοίου. Παθ. ὀλιγοστεύομαι, περιορίζομαι, γίνομαι μικρότερος, ὑποχωρῶ, ἐνδίδω. Μεσ. συστέλλομαι, συμμαζόνομαι· συνήθ. μεταφ. εἶμαι ἢ γίνομαι δειλὸς καὶ μικρόψυχος. Μετὰ αἰτιατ. ἀντὶ, τοῦ φοβοῦμαι, δειλιῶ. Δείναρχ. «Οὔτε τὴν Δημάδου δύναμιν ὑποστειλαμένης·» καὶ ἐνταῦθα Οὐδὲν ὑποστειλάμενος = χωρὶς νὰ συσταλῶ, χωρὶς νὰ φοβηθῶ· ἐλευθέρως καὶ χωρὶς δειλίαν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μένως[1] μέλλω τοὺς λόγους ποιεῖσθαι πρὸς ὑμᾶς. Τίς
γὰρ ἄλλοθεν ἐπελθὼν καὶ μήπω συνδιεφθαρμένος ἡμῖν
ἀλλ' ἐξαίφνης ἐπιστὰς τοῖς γιγνομένοις οὐκ ἂν μαίνε-
σθαι καὶ παραφρονεῖν ἡμᾶς νομίσειεν; οἳ φιλοτιμούμεθα
μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις καὶ τὴν πόλιν ἐκ τῶν
τότε πραχθέντων ἐγκωμιάζειν ἀξιοῦμεν, οὐδὲν δὲ τῶν
αὐτῶν ἐκείνοις πράττομεν, ἀλλὰ πᾶν τοὐναντίον. Οἱ 42
μὲν γὰρ ὑπὲρ τῶν Ἑλλήνων τοῖς βαρβάροις πολεμοῦν-
τες διετέλεσαν, ἡμεῖς δὲ τοὺς ἐκ τῆς Ἀσίας τὸν βίον
ποριζομένους ἐκεῖθεν ἀναστήσαντες ἐπὶ τοὺς Ἕλληνας
ἠγάγομεν· κἀκεῖνοι μὲν ἐλευθεροῦντες τὰς πόλεις τὰς
Ἑλληνίδας καὶ βοηθοῦντες αὐταῖς τῆς ἡγεμονίας[2] ἠξιώ-
θησαν, ἡμεῖς δὲ καταδουλούμενοι καὶ τἀναντία τοῖς
τότε[3] πράττοντες ἀγανακτοῦμεν, εἰ μὴ τὴν αὐτὴν τι-
μὴν ἐκείνοις ἕξομεν, οἳ τοσοῦτον ἀπολελείμμεθα καὶ 43
τοῖς ἔργοις καὶ ταῖς διανοίαις τῶν κατ' ἐκεῖνον τὸν χρό-
νον γενομένων, ὅσον οἱ μὲν ὑπὲρ τῆς τῶν ἄλλων σωτη
ρίας τήν τε πατρίδα τὴν αὐτῶν ἐκλιπεῖν ἐτόλμησαν,
καὶ μαχόμενοι καὶ ναυμαχοῦντες τοὺς βαρβάρους ἐνί-
κησαν, ἡμεῖς δ' οὐδ' ὑπὲρ τῆς ἡμετέρας αὐτῶν πλεο-
νεξίας κινδυνεύειν ἀξιοῦμεν, ἀλλ' ἄρχειν μὲν ἁπάντων 44

1) Ἀνειμένως] ἐλευθέρως, πεπαρρησιασμένως.

1) Ἡγεμονίας] Ἡγεμονία· ταὐτὸν τῷ ἡγεμονείᾳ· ἡ λέξις αὕτη ἐγράφετο ἐξαιρέτως κατ' αὐτὸν τὸν τρόπον, ὅταν ἐσήμαινε τὴν πολιτικὴν ὑπεροχὴν μιᾶς Ἑλληνικῆς πολιτείας ὑπὲρ τὰς ἄλλας, ἡ γεμονία τῆς Ἑλλάδος, ἡ ἀνωτάτη κυβέρνησις ὅλων τῶν κοινῶν τῆς Ἑλλάδος ὑποθέσεων.

3) Τοῖς τότε] δηλ. τοῖς Ἀθηναίοις.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ζητοῦμεν, στρατεύεσθαι[1] δ' οὐκ ἐθέλομεν, καὶ πόλεμον μὲν μικροῦ δεῖν[2] πρὸς ἅπαντας ἀνθρώπους ἀναιρούμεθα, πρὸς δὲ τοῦτον οὐχ ἡμᾶς αὐτοὺς ἀσκοῦμεν, ἀλλ' ἀνθρώπους τοὺς μὲν ἀπόλιδας[3], τοὺς δ' αὐτομόλους[4], τοὺς δ' ἐκ τῶν ἄλλων κακουργιῶν συνερρυηκότας[5], οἷς ὁπόταν τις διδῷ πλείω μισθὸν, μετ' ἐκείνων ἐφ' ἡμᾶς ἀκολουθήσουσιν. Ἀλλ' ὅμως οὕτως αὐτοὺς ἀγαπῶμεν, ὥσθ' ὑπὲρ μὲν τῶν παίδων τῶν ἡμετέρων, εἰ περί τινας ἐξα-

1) Στρατεύεσθαι] Στρατεύομαι μέσ. ἀποθ. στρατείαν ποιοῦμαι, ὅ ἐστιν, ἐμαυτὸν καὶ τοὺς μετ' ἐμοῦ ἄγω εἰς πόλεμον, πολεμῶ ὑπάγω εἰς τὸν πόλεμον, δουλεύω ὡς στρατιώτης, στρατιώτης εἰμί· πολλάκις παρ' Ἡροδτ. Ξενοφ. Ἀπομν. γ'. ϛ'. 3. «Στρατεύονται πάντες ἵνα ὁ βίος αὐτοῖς ὡς βέλτιστος ᾖ, καὶ στρατηγοὺς αἱροῦνται,» γίνονται ὅλοι στρατιῶται, ἢ δουλεύουσιν ὡς στρατιῶται εἰς τὸ στράτευμα. Ἀναβ. ϐ'. α'. 1. «Ὁ Κῦρος ἐπὶ τὸν ἀδελφὸν ἐστρατεύετο,» ἐκίνησε μὲ τὸ στράτευμά του κατὰ τοῦ ἀδελφοῦ του, ὅ ἐστιν, ἐκίνησεν ἢ ἐπεχείρησε τὸν πόλεμον.

2) Μικροῦ δεῖν] Ὅρα Τόμ. Α', σελ. 45, Νικ. Σημ. 4.

3) Ἀπόλιδας] Ἄπολις, οὐδ. ι, γεν. ιδος καὶ εως· χωρὶς πόλιν, ὁ μὴ ἔχων πόλιν, ἐπομένως πατρίδα, πολιτείαν, β', πόλις ἄπολις, χωρὶς πόλιν, ἤγουν πόλις δυστυχὴς, κατηφανισμένη ἢ δίχα στερεοῦ συντάγματος καὶ πολιτεύματος, Αἰσχ. Εὐμ. 451. Πλάτ. πολιτ. ϛ'. γ'. βάρβαρος, ἀμαθὴς, ἀπολίτευτος.

4) Αὐτομόλους] Αὐτόμολος· ὅστις πηγαίνει που ἀφ' ἑαυτοῦ του θεληματικῶς. Ἐπὶ στρατιωτῶν ἐν καιρῷ πολέμου, ὅστις λιποτακτεῖ, φεύγει ἀπὸ τὸ στράτευμα καὶ πηγαίνει, περνᾷ εἰς τὸ ἐχθρικὸν στράτευμα.

5) Συνερρυηκότας] = συρρεύσαντας, Συρρέω· ὁμοῦ ἢ ἐπὶ τὸ αὐτὸ ῥέω, τρέχω, χύνομαι· ἐπὶ ὑδάτων· μεταφορικῶς δὲ ἐπὶ προσώπων καὶ πραγμάτων, εἰς τὸ αὐτὸ συνερχομένων καὶ συναθροιζομένων. Ξεν. Ἀναβ. 5, 2, 3 «Χωρίον, εἰς τοῦτο πάντες συνερρυήκεσαν.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μάρτοιεν[1], οὐκ ἂν ἐθελήσαιμεν δίκας ὑποσχεῖν, ὑπὲρ δὲ τῆς ἐκείνων ἁρπαγῆς καὶ βίας καὶ παρανομίας μελλόντων τῶν ἐγκλημάτων ἐφ᾽ ἡμᾶς ἥξειν οὐχ ὅπως ἀγανακτοῦμεν ἀλλὰ καὶ χαίρομεν, ὅταν ἀκούσωμεν αὐτοὺς τοιοῦτόν τι διαπεπραγμένους. Εἰς τοῦτο δὲ μωρίας[2] ἐλη- 46
λύθαμεν, ὥστ᾽ αὐτοὶ μὲν ἐνδεεῖς τῶν καθ᾽ ἡμέραν ἐσμέν, ξενοτροφεῖν[3] δ᾽ ἐπικεχειρήκαμεν, καὶ τοὺς συμμάχους τοὺς ἡμετέρους αὐτῶν ἰδίους[4] λυμαινόμεθα[5] καὶ δασμο-

1) Εἴ περ ίτινας ἐξαμάρτοιεν] Ὁ νοῦς, ὑπὲρ μὲν τῶν ἡμετέρων τέκνων ἐὰν κακῶς ποιῶσί τινας, οὐκ ἐθέλομεν δίκας τίνειν· εἰ δὲ οἱ ξένοι καὶ μισθῷ πολεμοῦντες ὑπὲρ ἡμῶν στρατιῶται ἁρπάζουσι τὰ τῶν ἄλλων, καίπερ τῆς παρανομίας αὐτῶν τὰς αἰτίας ἡμεῖς ἕξειν μέλλοντες (ἡμῖν γὰρ στρατεύονται), ὅμως τοσούτου δέομεν ἀγανακτεῖν ἐφ᾽ οἷς πράττουσιν, ὥστε καὶ χαίρομεν, ὅταν ἀκούσωμεν αὐτοὺς τὰ τοιαῦτα τολμῶντας.

2) Εἰς τοῦτο μωρίας] = εἰς τόσην μωρίαν.

3) Ξενοτροφεῖν] ξένους, μισθοφόρους τρέφειν.

4) Καὶ τοὺς συμμάχους ...λυμαινόμεθα καὶ δασμολογεῖν] Τὰ αὐτὰ καὶ Δημοσθένης ἐν τῷ κατὰ Φιλίππου Α′ κατὰ τῶν Ἀθηναίων στρατηγῶν καὶ τοῦ ξενικοῦ στρατοπέδου, «ἐξ οὗ δ᾽ αὐτὰ καθ᾽ αὐτὰ τὰ ξενικὰ ὑμῖν στρατεύεται, τοὺς φίλους νικᾷ καὶ τοὺς συμμάχους· οἱ δ᾽ ἐχθροὶ μείζους τοῦ δέοντος γεγόνασι» Πρὸ δὲ τούτων καὶ ὁ χαριέστατος Ἀριστοφάνης ἔσκωψε τοὺς τοῖς στρατηγοῖς συνηγοροῦντας τῶν ῥητόρων. εἰπὼν Εἰρ. 639. Ὅτι τὴν μὲν εἰρήνην ἐκώλυον γενέσθαι, τῶν δὲ συμμάχων ἔσειον τοὺς παχεῖς καὶ πλουσίους, αἰτίας ἂν προστιθέντες, ὡς φρονεῖ τὰ Βρασίδου.

5) Λυμαινόμεθα] Λυμαίνομαι = βλάπτω, ζημιῶ, ἀφανίζω, χαλῶ, ἐρημόνω, διαφθείρω, πλανῶ, κολοβόνω, κττ. μετὰ αἰτ. καὶ δοτ. β′. μεταχειρίζομαί τινα κακῶς καὶ ἀτίμως, ὑβρίζω, ἀτιμάζω, ὀνειδίζω, κ.τ.τ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λογοῦμεν[1], ἵνα τοῖς ἁπάντων ἀνθρώπων κοινοῖς ἐχθροῖς
47 τὸν μισθὸν ἐκπορίζωμεν. Τοσούτῳ δὲ χείρους ἐσμὲν τῶν
προγόνων, οὐ μόνον τῶν εὐδοκιμησάντων ἀλλὰ καὶ τῶν
μισηθέντων, ὅσον ἐκεῖνοι μὲν εἰ πολεμεῖν πρός τινας ψη-
φίσαιντο, μεστῆς οὔσης ἀργυρίου καὶ χρυσίου τῆς ἀκρο-
πόλεως ὅμως ὑπὲρ τῶν δοξάντων τοῖς αὑτῶν σώμασιν
ᾤοντο δεῖν κινδυνεύειν, ἡμεῖς δ' εἰς τοσαύτην ἀπορίαν
ἐληλυθότες καὶ τοσοῦτοι τὸ πλῆθος ὄντες ὥσπερ βασι-
λεὺς ὁ μέγας[2] μισθωτοῖς χρώμεθα τοῖς στρατοπέδοις.
48 Καὶ τότε μὲν εἰ τριήρεις πληροῖεν, τοὺς μὲν ξένους καὶ
τοὺς δούλους ναύτας εἰσεβίβαζον[3], τοὺς δὲ πολίτας μεθ'
ὅπλων ἐξέπεμπον· νῦν δὲ τοῖς μὲν ξένοις ὁπλίταις χρώ-
μεθα, τοὺς δὲ πολίτας ἐλαύνειν[4] ἀναγκάζομεν, ὥσθ' ὁ-
πόταν ἀποβαίνωσιν[5] εἰς τὴν τῶν πολεμίων, οἱ μὲν ἄρ-

1) Δασμολογοῦμεν] Δασμολογέω, ῶ. Συνάζω τὸ δόσιμον, φόρον· καὶ μετὰ αἰτιατικῆς ὑποχρεόνω τινὰ νὰ πληρώσῃ δόσιμον, ζητῶ ἐξ αὐτοῦ δόσιμον. Τοὺς ἡμετέρους συμμάχους δασμολογοῦμεν = ὑποχρεόνομεν νὰ μᾶς πληρώσῃ δόσιμον, φόρον χρήματα.

2) Βασιλεὺς ὁ μέγας] Ἀπὸ τοῦ καιροῦ τῶν Περσικῶν πολέμων ὠνομάζετο ὁ βασιλεὺς τῶν Περσῶν κατ' ἐξοχὴν βασιλεύς, ἢ ὁ μέγας βασιλεύς.

3) Εἰσεβίβαζον] Εἰσβιβάζω· φέρω μέσα, ἐμβάζω, φορτόνω μέσα· ἐξαιρετ. φορτώνω, ἢ ἐμβάζω εἰς τὸ πλοῖον· τὸ Ἰταλ. Ἰμβαρκάρω.

4) Ἐλαύνειν] = κωπηλατεῖν

5) Ἀποβαίνωσιν] Ἀποβαίνω οὐδ. ἐπὶ πλοίου λεγόμενον, σημαίνει τὸ, ἐκβαίνω ἀπὸ τὸ πλοῖον (ξεβαρκαρίζομαι), «νηὸς, σχεδίας, ἵππων,» Θουκ. Δ. 12. «πειρώμενος ἀποβαίνειν, ἀνεκόπη ὑπὸ τῶν Ἀθηναίων» καὶ, «οἱ δ' ἄλλοι προὐθυμοῦντο μὲν, ἀδύνατοι δ' ἦσαν ἀποβῆναι, τῶν τε χωρίων χαλεπότητι, καὶ τῶν Ἀθηναίων

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χειν τῶν Ἑλλήνων ἀξιοῦντες ὑπηρέσιον [1] ἔχοντες ἐκβαίνουσιν, οἱ δὲ τοιοῦτοι τὰς φύσεις ὄντες, οἵους ὀλίγῳ πρότερον διῆλθον[2], μεθ' ὅπλων κινδυνεύουσιν.

(ιζ'.) Ἀλλὰ γὰρ τὰ κατὰ τὴν πόλιν ἄν τις ἰδὼν καλῶς διοικούμενα περὶ τῶν ἄλλων θαρρήσειεν, ἀλλ' οὐκ ἂν ἐπ' αὐτοῖς τούτοις μάλιστ' ἀγανακτήσειεν[3]; οἵτινες αὐτόχθονες[4] μὲν εἶναί φαμεν καὶ τὴν πόλιν ταύτην προτέραν οἰκισθῆναι τῶν ἄλλων, προσῆκον δ' ἡμᾶς ἅπασιν εἶναι παράδειγμα τοῦ καλῶς καὶ τεταγμένως[5] πολιτεύεσθαι, χεῖρον καὶ ταραχωδέστερον τὴν ἡμετέραν αὐτῶν διοικοῦμεν τῶν ἄρτι τὰς πόλεις οἰκιζόντων, καὶ σεμνυνόμεθα μὲν καὶ μέγα φρονοῦμεν ἐπὶ τῷ βέλτιον

μενόντων, καὶ οὐδὲν ὑποχωρούντων.» Ξενοφ. Ἑλλ. Ε'. α'. «οἱ ἐκ τῶν νεῶν ἀποβεβηκότες». «Ἀποβαίνειν τοῦ ἵππου» Λουκιαν. Καταβαίνω ἀπὸ τοῦ ἵππου, πεζεύω, ξεπεζεύω.

1) Ὑπηρέσιον] «τὸ Κῶας (τὸ κῶας πλ. κώεα ἐλέγετο ἁπαλὸν, μαλλιαρὸν δέρμα, δορὰ, προβιὰ παρ' Ὁμρ. ὡς σκέπασμα ἐπὶ τῶν σκαμνίων, δίφρων καὶ κλινῶν ἐφαπλούμενον, διὰ νὰ κάθηταί τις ἢ νὰ κοίτηται ἀναπαυτικώτερα) ᾧ ἐπεκάθηντο οἱ ἐρέσσοντες, διὰ τὸ μὴ συντρίβεσθαι αὐτῶν τὰς πυγάς», ὡς φησὶν ὁ σχολιαστὴς τοῦ Θουκυδίδου 2. 93, ἄρα τὸ ὑποπύγιον.

2) Οἵους ὀλίγῳ πρότερον διῆλθον] Ἀπόλιδας δηλονότι, αὐτομόλους καὶ ἐκ τῶν ἄλλων κακουργιῶν συνερρυηκότας § ϛ'.44.

2) Ἀλλὰ γὰρ τὰ κατὰ τὴν πόλιν...ἀγανακτήσειεν;] Ἐμιμήσατο τόδε τὸ χωρίον ὁ Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος σελ. 614.

4) Αὐτόχθονες] ὅσοι δὲν ἦλθον εἰς τὴν χώραν ἀπὸ ξένον τόπον καὶ κατῴκησαν εἰς αὐτὴν, ἀλλὰ κατάγονται ἐκ πρώτης ἀρχῆς ἀπὸ ἐντοπίους γονεῖς προπάτορας.

5) Τεταγμένως] Ἐπιρρ ἐκ τοῦ παραχ. τῆς παθητ. μετ. τοῦ τάσσω. Τακτικῶς, εὐτάκτως, μὲ τάξιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γεγονέναι τῶν ἄλλων, ῥᾷον δὲ μεταδίδομεν[1] τοῖς βουλομένοις ταύτης τῆς εὐγενείας ἢ Τριβαλλοὶ καὶ Λευκανοὶ[2] τῆς αὑτῶν δυσγενείας· πλείστους δὲ τιθέμενοι νόμους οὕτως ὀλίγον αὐτῶν φροντίζομεν, ἓν γὰρ ἀκούσαντες γνώσεσθε καὶ περὶ τῶν ἄλλων, ὥστε θανάτου τῆς ζημίας ἐπικειμένης, ἤν τις ἁλῷ δεκάζων[3], τοὺς

1) Ῥᾷον δὲ μεταδίδομεν κ.τ.λ.] Ἐμέμψατο καὶ Δημοσθένης τὴν εὐχέρειαν ἀληθέστερον δὲ φάναι, τὴν τὰ πάντα λυμηναμένην εὐήθειαν ταύτην τῶν Ἀθηναίων, ἐν οἷς (περὶ συντάξ. σ. 173) φησί, «Νῦν δ' ὦ ἄνδρες Ἀθηναῖοι, φθόρους ἀνθρώπους οἰκότριβας, οἰκοτρίβων τιμὴν, ὥσπερ ἄλλου τοῦ τῶν ὠνίων λαμβάνοντες ποιῆσθαι πολίτας.» Εἰς τοσοῦτο γὰρ μικροφροσύνης ἐληλύθεσαν κατ' ἐκεῖνο τοῦ χρόνου οἱ χρηστοὶ Ἀθηναῖοι ὡς πολίτας ἀναγράψαντες, καὶ Ἀριστόνικον τὸν Καρύστιον τὸν Ἀλεξάνδρου τοῦ βασιλέως συσφαιριστὴν διὰ τὴν τέχνην καὶ τοῦ Χαιρεφίλου τοῦ ταριχοπώλου υἱοὺς διὰ τὴν περὶ τὸ τάριχος σπουδὴν, ᾗ φησιν Ἀθήναιος. (Α, σελ. 19, καὶ Γ, σελ. 119).

2) Τριβαλλοὶ καὶ Λευκανοὶ] Μυσῶν ἔθνος τῆς κατ' Εὐρώπην Μυσίας οἱ Τριβαλλοὶ, οὓς νῦν Βουλγάρους καλοῦσι. Λευκανοὶ δὲ, οὓς Λουκανοὺς ἢ Λυκανοὺς, ὀνομάζουσιν οἱ Λατῖνοι γεωγράφοι, τῆς Ἰταλίας τὴν Βασιλικὴν (Basilicata) καλουμένην χώραν πρὸς τῷ Ταραντικῷ κόλπῳ κατέσχον, ἐκβαλόντες τοὺς Ἕλληνας.

3) Δεκάζων] = χρήμασι διαφθείρων. Δεκάζω· ἀγοράζω μὲ χρήματα, διαφθείρω (μὲ δῶρα, μὲ ρουσφέτ. Τουρκ.) φέρω εἰς τὰ θελήματά μου δίδων δῶρα, χρήματα· κυρίως λέγεται ἐπὶ κριτῶν. Τίμαιος δὲ ἐν Λεξ. Πλάτ. λέγει, «Δεκάζει ὁ κρίσιν ὠνούμενος παρὰ τοῦ δικαστοῦ.» Δεκάζομαι παθητ. δωροδοκοῦμαι, ἀγοράζομαι μὲ χρήματα· ὅθεν παρὰ Λουκ. «Δεδεκασμένοι μάρτυρες.» Ἔνθεν ἀδέκαστος, ὁ μὴ πιπράσκων κρίσιν, μὴ δωροδοκούμενος καλεῖται, (Ἐτυμολογεῖται οὐχὶ παρὰ τὸ δέχομαι, ἀλλὰ παρὰ τὸ δέκα, ὡς τὸ decuriare, ἐπὶ διαφθορᾶς τῶν Ῥωμαϊκῶν φυλῶν κατὰ τὰς ἐκλογάς, ἐπεὶ κατὰ δέκα συναθροιζόμενοι ἐλάμβανον τὰ δῶρα).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦτο φανερώτατα ποιοῦντας στρατηγοὺς χειροτονοῦμεν, καὶ τὸν πλείστους διαφθεῖραι τῶν πολιτῶν δυνηθέντα, τοῦτον ἐπὶ τὰ μέγιστα τῶν πραγμάτων καθίσταμεν· σπουδάζοντες δὲ περὶ τὴν πολιτείαν οὐχ ἧτ- 51
τον ἢ περὶ τὴν σωτηρίαν ὅλης τῆς πόλεως, καὶ τὴν δημοκρατίαν εἰδότες ἐν μὲν ταῖς ἡσυχίαις καὶ ταῖς ἀσφαλείαις αὐξανομένην καὶ διαμένουσαν, ἐν δὲ τοῖς πολέμοις δὶς ἤδη καταλυθεῖσαν, πρὸς μὲν τοὺς τῆς εἰρήνης ἐπιθυμοῦντας ὡς πρὸς ὀλιγαρχικοὺς ὄντας δυσκόλως ἔχομεν, τοὺς δὲ τὸν πόλεμον ποιοῦντας ὡς τῆς δημοκρατίας κηδομένους εὔνους εἶναι νομίζομεν· ἐμπει- 52
ρότατοι δὲ λόγων καὶ πραγμάτων ὄντες οὕτως ἀλογίστως ἔχομεν, ὥστε περὶ τῶν αὐτῶν τῆς αὐτῆς ἡμέρας[1] οὐ ταὐτὰ γιγνώσκομεν, ἀλλ᾽ ὧν μὲν πρὶν εἰς τὴν ἐκκλησίαν ἀναβῆναι κατηγοροῦμεν, ταῦτα συνελθόντες χειροτονοῦμεν, οὐ πολὺν δὲ χρόνον διαλιπόντες τοῖς ἐνθάδε ψηφισθεῖσιν[2], ἐπειδὰν ἀπίωμεν, πάλιν ἐπιτιμῶμεν· προσποιούμενοι δὲ σοφώτατοι τῶν Ἑλλήνων εἶναι τοιούτοις χρώμεθα συμβούλοις, ὧν οὐκ ἔστιν ὅστις οὐκ ἂν καταφρονήσειεν, καὶ τοὺς αὐτοὺς τούτους κυρίους ἁπάν-

1) Ὥστε περὶ τῶν αὐτῶν τῆς αὐτῆς ἡμέρας κ.τ.λ.] δι' ὃ καὶ ὁ κωμικὸς (Ἀριστοφ.) σκώπτων τῶν Ἀθηναίων τὸ εὐμετάβολον λέγει (Ἐκκλ. 137.) «Τὰ γοῦν βουλεύματα αὐτῶν, ὅσ' ἂν πράξωσιν ἐνθυμουμένοις, ὥσπερ μεθυόντων, ἐστὶ παραπεπληγμένα.» Καὶ αὖθις 797. «Ἐγῷδα τούτους χειροτονοῦντας μὲν ταχεῖς· ἅττ' ἂν δὲ δόξῃ ταῦτα πάλιν ἀρνουμένους» καὶ ἀλλαχοῦ (Ἀχαρν. 630.)

2) Χειροτονοῦμεν, ψηφισθεῖσιν] ὅρ. τόμ. Α'. Ἀρεοπαγιτικός, § 39. σημ. 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

των τῶν κοινῶν καθίσταμεν, οἷς οὐδεὶς ἂν οὐδὲν τῶν
53 ἰδίων ἐπιτρέψειεν. Ὃ δὲ πάντων σχετλιώτατον[1]· οὓς γὰρ ὁμολογήσαιμεν ἂν πονηροτάτους[2] εἶναι τῶν πολιτῶν, τούτους πιστοτάτους φύλακας ἡγούμεθα τῆς πολιτείας εἶναι· καὶ τοὺς μὲν μετοίκους[3] τοιούτους εἶναι νομίζομεν, οἵους περ ἂν τοὺς προστάτας νέμωσιν[4], αὐτοὶ δ' οὐκ οἰόμεθα τὴν αὐτὴν λήψεσθαι δόξαν τοῖς
54 προεστῶσιν ἡμῶν. Τοσοῦτον δὲ διαφέρομεν τῶν προ-

1) Σχετλιώτατον] ἀνοητότατον. Καὶ σημείωσαι δὲ τὸ σοφὸν τῆς μεταφορᾶς ταύτης τῆς παρὰ τοῖς Ἕλλησιν ὡς μεγίστης ἁπασῶν οὔσης δυστυχίας τῆς ἀφροσύνης. Σχέτλιος γὰρ κυρίως ἐστὶν ὁ τλήμων ἢ δστυχής. Μετηνέχθη δὲ καὶ τὰ συνώνυμα ἐπὶ τὴν αὐτὴν ἔννοιαν, οἷόν ἐστι παρὰ τῷ Σοφοκλεῖ (Αἰαντ. 1156) «Τοιαῦτ' ἄνολβον ἄνδρ' ἐνουθέτει παρών,» ὅπου ὁ Σχολιαστὴς φησίν, «Ἄνολβον, ἀνόητον, ὄλβος γὰρ κυρίως ἡ φρόνησις.»

2) Πονηροτάτους] τοὺς δημαγωγούς. Παράθες ἃ περὶ τῶν αὐτῶν ἐπιτρίπτων δημαγωγῶν φησὶν ὁ Κωμικὸς (Βατρ. 730)...
«Τοῖς δὲ χαλκοῖς, καὶ ξένοις, καὶ πυρρίαις, καὶ πονηροῖς, κἀκ πονηρῶν, εἰς ἅπαντα χρώμεθα.»

3) Μετοίκους] ὅρα σελ. 14 σημ. 3.

4) Τοὺς προστάτας νέμωσιν] Προστάτης· οἱ τῶν μετοίκων Ἀθήνησι προεστηκότες προστάται ἐκαλοῦντο· ἀναγκαῖον γὰρ ἦν ἑκάστῳ τῶν μετοίκων, πολίτην τινὰ Ἀθηναίων νέμειν προστάτην καὶ ἀπροστασίου, εἶδος δίκης κατὰ τῶν προστάτην μὴ νεμόντων μετοίκων· ᾑρεῖτο γὰρ ἕκαστος ἑαυτῷ τῶν πολιτῶν τινα προστησόμενον περὶ πάντων τῶν ἰδίων καὶ τῶν κοινῶν. Ἁρποκρατ. Ὁ δὲ Σουΐδας (τόμ. Β, σελ. 606) λέγει «Νέμειν προστάτην, ἀντὶ τοῦ ἔχειν προστάτην· τῶν γὰρ μετοίκων ἕκαστος μετὰ προστάτου τῶν ἀστῶν τινος, τὰ πράγματα αὐτοῦ διῴκει, καὶ τὸ μετοίκιον κατετίθει· καὶ τὸ ἔχειν προστάτην, καλεῖται νέμειν προστάτην.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γόνων, ὅσον ἐκεῖνοι μὲν τοὺς αὐτοὺς προστάτας τε τῆς πόλεως ἐποιοῦντο καὶ στρατηγοὺς ᾑροῦντο, νομίζοντες τὸν ἐπὶ τοῦ βήματος τὰ βέλτιστα συμβουλεῦσαι δυνάμενον, τὸν αὐτὸν τοῦτον ἄριστ' ἂν βουλεύσασθαι καὶ καθ' αὑτὸν γενόμενον[1], ἡμεῖς δὲ τοὐναντίον τούτων
ποιοῦμεν· οἷς μὲν γὰρ περὶ τῶν μεγίστων συμβούλοις 55
χρώμεθα, τούτους μὲν οὐκ ἀξιοῦμεν στρατηγοὺς χειροτονεῖν ὡς νοῦν οὐκ ἔχοντας, οἷς δ' οὐδεὶς ἂν οὔτε περὶ τῶν ἰδίων οὔτε περὶ τῶν κοινῶν συμβουλεύσαιτο, τούτους δ' αὐτοκράτορας[2] ἐκπέμπομεν ὡς ἐκεῖ σοφωτέρους ἐσομένους[3] καὶ ῥᾷον βουλευσομένους περὶ τῶν Ἑλληνικῶν πραγμάτων ἢ περὶ τῶν ἐνθάδε προτιθεμένων.
Λέγω δὲ ταῦτ' οὐ κατὰ πάντων ἀλλὰ κατὰ τῶν 56
ἐνόχων τοῖς λεγομένοις ὄντων. Ἐπιλίποι δ' ἄν με τὸ λοιπὸν μέρος τῆς ἡμέρας, εἰ πάσας τὰς πλημμε-

1) Βουλεύσασθαι καὶ καθ' αὑτὸν γενόμενον] Ὁ νοῦς. Οἱ ἡμέτεροι πρόγονοι ἐνόμιζον, ὅτι ὁ δυνάμενος ἐπὶ τοῦ βήματος τὰ βέλτιστα περὶ πολέμου, ἢ περὶ εἰρήνης, τοῖς πολίταις συμβουλεῦσαι, ἢ μετὰ τῶν πολιτῶν συμβουλεύσασθαι, ὁ αὐτὸς οὗτος ἄριστ' ἂν βουλεύσαιτο καὶ καθ' ἑαυτὸν γενόμενος, τουτέστι στρατηγὸς αὐτοκράτωρ χειροτονηθείς, καὶ μόνος ἐν τῷ στρατοπέδῳ διοικῶν τὰ τοῦ πολέμου πράγματα.

2) Οἷς μὲν γάρ...τούτους μὲν οὐκ ἀξιοῦμεν...οἷς δ' οὐδεὶς ἄν....τούτους δ' αὐτοκράτορας κ.τ.λ] Σημείωσαι δὶς τιθέμενον τὸν μὲν καὶ τοσάκις τὸν ἀποδιδόμενον δὲ διὰ τὸ μακρὸν τῆς περιόδου. Αὐτοκράτωρ· πληρεξούσιος, ἔχων ἀπόλυτον δύναμιν καὶ πληρεξουσιότητα, ὡς πρέσβυς, ἢ ἀρχιστράτηγος.

3) Ὡς ἐκεῖ σοφωτέρους ἐσομένους] Κατ' εἰρωνείαν τὸ σχῆμα.



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λείας[1] τὰς ἐν τοῖς πράγμασιν ἐγγεγενημένας ἐξετάζειν ἐπιχειροίην.

57 (ιη΄.) Τάχ᾽ οὖν ἄν τις τῶν σφόδρα τοῖς λεγομένοις ἐνόχων ὄντων ἀγανακτήσας ἐρωτήσειεν, «πῶς, εἴπερ οὕτω κακῶς βουλευόμεθα, σῳζόμεθα καὶ δύναμιν οὐδεμιᾶς πόλεως ἐλάττω κεκτημένοι τυγχάνομεν;» ἐγὼ δὲ πρὸς ταῦτ᾽ ἀποκριναίμην ἄν, ὅτι τοὺς ἀντιπάλους
58 ἔχομεν οὐδὲν βέλτιον ἡμῶν φρονοῦντας. Εἰ γὰρ μετὰ τὴν μάχην ἣν ἐνίκησαν Θηβαῖοι Λακεδαιμονίους, ἐκεῖνοι μὲν ἐλευθερώσαντες τὴν Πελοπόννησον καὶ τοὺς ἄλλους αὐτονόμους ποιήσαντες ἡσυχίαν εἶχον, ἡμεῖς δὲ τοιαῦτ᾽ ἐξημαρτάνομεν, οὔτ᾽ ἂν οὗτος ἔσχε ταύτην ποιήσασθαι τὴν ἐρώτησιν, ἡμεῖς τ᾽ ἂν ἔγνωμεν, ὅσῳ
59 κρεῖττόν ἐστι τὸ σωφρονεῖν τοῦ πολυπραγμονεῖν[2]. Νῦν δ᾽ ἐνταῦθα τὰ πράγματα περιέστηκεν[3], ὥστε Θηβαῖοι μὲν ἡμᾶς σῴζουσιν, ἡμεῖς δὲ Θηβαίους, καὶ συμμάχους ἐκεῖνοι μὲν ἡμῖν ποιοῦσιν, ἡμεῖς δ᾽ ἐκείνοις[4]. Ὥστ᾽

1) Πλημμελείας] Πλημμέλεια· πταῖσμα, σφάλμα, ἁμάρτημα, ἐν γένει, ἢ δι᾽ ἄγνοιαν, ἀμέλειαν. Ὁ Φώτ. ἔχει Πλημμέλεια, πολλὴ ἀμέλεια· καὶ Πλημμελεῖν, τὸ ἀτακτεῖν καὶ ὑβρίζειν καὶ ῥαθυμεῖν· καὶ Πλημμελές, τὸ ἐκμελὲς καὶ ῥᾴθυμον καὶ ἀπαίδευτον.

2) Πολυπραγμονεῖν] ὅρα σελ. 17 σημ. 1.

3) Περιέστηκεν] τοῦτο ἡ συνήθεια, κατήντησε, λέγει. οἷον, ἐπὶ τοῦ παρόντος, «Ἀλλὰ τώρα τὰ πράγματα κατήντησαν εἰς τοῦτο». Χρῆται δὲ καὶ Πολύβιος (Δ, λδ΄.) ἐπὶ τῆς αὐτῆς σημασίας τῷ καταντᾶν.

4) Συμμάχους ἐκεῖνοι μὲν ἡμῖν ποιοῦσιν, ἡμεῖς δ᾽ ἐκείνοις] Ὁ νοῦς· τοὺς ἄλλους Ἕλληνας συμμάχους ἡμῖν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἰ νοῦν ἔχοιμεν, ἀλλήλοις ἂν εἰς τὰς ἐκκλησίας ἀρ-
γύριον παρέχοιμεν· ὁπότεροι γὰρ ἂν πλεονάκις[1] συλλε-
γῶσιν, οὗτοι τοὺς ἐναντίους ἄμεινον πράττειν ποιοῦσιν.
Χρὴ δὲ τοὺς καὶ μικρὰ λογίζεσθαι δυναμένους οὐκ ἐν 60
τοῖς τῶν ἐχθρῶν ἁμαρτήμασι τὰς ἐλπίδας ἔχειν τῆς
σωτηρίας, ἀλλ' ἐν τοῖς αὑτῶν πράγμασι καὶ ταῖς αὑ-
τῶν διανοίαις· τὸ μὲν γὰρ διὰ τὴν ἐκείνων ἀμαθίαν
συμβαῖνον ἡμῖν ἀγαθὸν τυχὸν[2] ἂν παύσαιτο καὶ λάβοι
μεταβολήν, τὸ δὲ δι' ἡμᾶς αὐτοὺς γιγνόμενον βεβαιο-
τέρως ἂν ἔχοι καὶ μᾶλλον παραμείνειεν ἡμῖν.
(ιθ'.) Πρὸς μὲν οὖν τοὺς εἰκῇ τὰς ἐπιλήψεις ποιουμένους[3] 61

ποιοῦσιν οἱ Θηβαῖοι, ὥσπερ ἡμεῖς ποιοῦμεν ἐκείνοις. Τῶν γὰρ Θηβαίων μετὰ τὰ Λευκτρικά, μὴ καλῶς χρησαμένων ταῖς εὐτυχίαις, καὶ τάς τε ἐν Πελοποννήσῳ καὶ τὰς κατὰ τὴν ἄλλην Ἑλλάδα πόλεις ἐνοχλούντων, εἰκὸς τοὺς ἐνοχλουμένους ἐπὶ τοὺς Ἀθηναίους καταφεύγειν, καὶ τῆς ἐκείνων συμμαχίας ὀρέγεσθαι, ἢ τοῦ γε κακῶς ποιεῖν Ἀθηναίους ἀπέχεσθαι· καὶ ταὐτὰ δὲ καὶ τοὺς ὑπ' Ἀθηναίων ἐνοχλουμένους τῶν Ἑλλήνων εἰκὸς ἦν Θηβαίοις προστίθεσθαι. Καὶ τοῦτ' ἂν εἴη, λέγει ὁ ῥήτωρ, ὅτι ἡ Θηβαίων ἄνοια συμμάχους ἡμῖν παρασκευάζει οὓς ἂν κακῶς ἐκεῖνοι διατιθῶσι τῶν Ἑλλήνων, ὥσπερ καὶ ἡ ἡμετέρα ἄνοια συμμάχους ἐκείνοις ποιεῖ τοὺς κακῶς ὑφ' ἡμῶν διατιθεμένους: Τὰ αὐτὰ δὲ σχεδὸν εἴρηκε καὶ ἀλλαχοῦ (ἐν τῷ αὐτῷ λόγῳ § λε'. μδ'. Περὶ Ἀντιδ. § χθ'.)

1) Πλεονάκις] Ἐπιρ. (πλέον). Συχνότερον.

2) Τυχὸν] Ἐπιρρηματικῶς, ἀντὶ τοῦ, ἴσως, κατὰ τύχην, κατὰ συμβεβηκός· ἀντίκειται τῷ, ἐκ προνοίας. Ἔστι δὲ μετοχ. ἀορ. β'. οὐδετ. τοῦ τυγχάνω.

3) Τὰς ἐπιλήψεις ποιουμένους] = ἐπιλαμβανομένους. Ἐπίληψις (ἐπιλαμβάνω). Τὸ νὰ πιάνῃ, ἀδράχνῃ, κρατῇ, σφιχτοκρατῇ τις τίποτε, ἄδραγμα, πιάσιμον, κράτημα, κ.τ.τ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐ χαλεπὸν ἀντειπεῖν· εἰ δὲ δή τις μοι παραστὰς τῶν ἐπιεικέστερον διακειμένων ἀληθῆ μὲν λέγειν με προσομολογήσειε καὶ προσηκόντως ἐπιτιμᾶν τοῖς γιγνομένοις, δίκαιον δ' εἶναι φαίη τοὺς ἐπ' εὐνοίᾳ νουθετοῦντας μὴ μόνον κατηγορεῖν τῶν πεπραγμένων ἀλλὰ
62 καὶ συμβουλεύειν[1], τίνων ἀπεχόμενοι καὶ ποίων ὀρεγόμενοι παυσαίμεθ' ἂν ταύτην ἔχοντες τὴν γνώμην καὶ τοιαῦτ' ἐξαμαρτάνοντες, οὗτος ὁ λόγος ἀπορεῖν ἄν με ποιήσειεν ἀποκρίσεως, οὐκ ἀληθοῦς καὶ συμφερούσης ἀλλ' ἀρεσκούσης ὑμῖν. Οὐ μὴν ἀλλ' ἐπειδή περ ἀποκεκαλυμμένως ὥρμημαι λέγειν, οὐκ ἀποκνητέον[2] ἀποφήνασθαι καὶ περὶ τούτων.

63 (κ'.) Ἃ μὲν οὖν ὑπάρχειν δεῖ τοῖς μέλλουσιν εὐδαιμονήσειν, τήν τ' εὐσέβειαν καὶ τὴν σωφροσύνην καὶ τὴν δικαιοσύνην καὶ τὴν ἄλλην ἀρετήν, ὀλίγῳ πρότερον εἰρήκαμεν· ὡς δ' ἂν τάχιστα πρὸς τὸ τοιοῦτοι γενέσθαι παιδευθεῖμεν, ἀληθὲς μέν ἐστι τὸ ῥηθησόμενον, ἴσως δ' ἂν ἀκούσασιν ὑμῖν δεινὸν εἶναι δόξειε καὶ παρὰ

1) Μὴ μόνον κατηγορεῖν τῶν πεπραγμένων ἀλλὰ καὶ συμβουλεύειν] Τοῦτο Δημοσθένης (Ὀλυνθ. Α'.) οὕτω διεσκεύασε « Τὸ μὲν οὖν ἐπιτιμᾶν ἴσως φῆσαι τις ἂν ῥᾴδιον καὶ παντὸς εἶναι· τὸ δ' ὑπὲρ τῶν παρόντων ὅ,τι δεῖ πράττειν ἀποφαίνεσθαι, τοῦτ' εἶναι συμβούλου.»

2) Ἀποκνητέον] Ἀποκνέω, ῶ (ὀκνῶ). Ἀπὸ φόβον, ἢ ἀμέλειαν, ἢ ἀναποφάσιστον γνώμην ἀργοπορῶ ἓν πρᾶγμα, δὲν ἐπιχειρίζομαί τι, ἀναβάλλω, ἢ δὲν θέλω, παραιτῶ τι. Συντασ. αἰτ. ἢ ἀπαρεμφ. ὡς «μὴ ἀποκνήσομεν τὸν κίνδυνον» Θουκυδ. μετ' αἰτ. Καὶ ἐντθ. «οὐκ ἀποκνητέον ἀποφήνασθαι καὶ περὶ τούτων,» μετ' ἀπαρεμφ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πολὺ τῆς τῶν ἄλλων ἐξηλλαγμένον[1] διανοίας. (κα΄.)
Ἐγὼ γὰρ ἡγοῦμαι και τὴν πόλιν ἡμᾶς ἄμεινον οἰκή- 64
σειν καὶ βελτίους αὐτοὺς ἔσεσθαι καὶ πρὸς ἁπάσας τὰς
πράξεις ἐπιδώσειν, ἢν παυσώμεθα τῆς ἀρχῆς τῆς κατὰ
θάλατταν ἐπιθυμοῦντες. Αὕτη γάρ ἐστιν ἡ καὶ νῦν εἰς
ταραχὴν ἡμᾶς καθιστᾶσα καὶ τὴν δημοκρατίαν ἐκεί-
νην καταλύσασα, μεθ᾽ ἧς οἱ πρόγονοι ζῶντες εὐδαιμο-
νέστατοι τῶν Ἑλλήνων ἦσαν, καὶ σχεδὸν ἁπάντων αἰ-
τία τῶν κακῶν ὧν αὐτοί τ᾽ ἔχομεν καὶ τοῖς ἄλλοις
παρέχομεν. Οἶδα μὲν οὖν, ὅτι χαλεπόν ἐστι δυναστείας 65
ὑπὸ πάντων ἐρωμένης καὶ περιμαχήτου γεγενημένης
κατηγοροῦντα δοκεῖν ἀνεκτόν τι[2] λέγειν· ὅμως δ᾽ ἐπειδή
περ ὑπεμείνατε καὶ τοὺς ἄλλους λόγους, ἀληθεῖς μὲν
ὄντας, φιλαπεχθήμονας[3] δὲ, καὶ τοῦτον ὑμῶν ἀνασχέ-
σθαι δέομαι, καὶ μὴ καταγνῶναί μου τοιαύτην μανίαν,
ὡς ἄρ᾽ ἐγὼ προειλόμην ἂν διαλεχθῆναι πρὸς ὑμᾶς περὶ
πραγμάτων οὕτω παραδόξων, εἰ μή τι λέγειν ἀληθὲς
εἶχον περὶ αὐτῶν. Νῦν δ᾽ οἶμαι πᾶσι φανερὸν ποιήσειν, 66
ὡς οὔτε δικαίας ἀρχῆς ἐπιθυμοῦμεν οὔτε γενέσθαι δυ-
νατῆς οὔτε συμφερούσης ἡμῖν.

1) Ἐξηλλαγμένον] = Διαφέρον. Χρῆται δὲ καὶ ἡ συνήθεια τῷ τρίτῳ μάλιστα προσώπῳ τοῦ ἁπλοῦ, ἐπὶ τοῦ Διαφέρει, οἷον, τοῦτο ἀλλάσσει, τουτέστιν οὐχ ὅμοιόν ἐστι τοῖς ἄλλοις.

2) Ἀνεκτὸν] ὑποφερτόν.

3) Φιλαπεχθήμονας] Οἵους ἂν λέξειεν ὁ φιλῶν ἀπεχθάνεσθαι τοῖς ἀκούουσιν, ὁ ἐκ περιουσίας κατηγορῶν καὶ μηδὲν φροντίζων τῆς ἀπὸ τῶν λόγων προσγενησομένης ἔχθρας αὐτῷ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

67 (κϐ΄.) Ὅτι μὲν οὖν οὐ δικαίας, παρ᾽ ὑμῶν μαθὼν ὑμᾶς ἔχω διδάσκειν. Ὅτε γὰρ Λακεδαιμόνιοι ταύτην εἶχον τὴν δύναμιν, ποίους λόγους οὐκ ἀνηλώσαμεν[1], κατηγοροῦντες μὲν τῆς ἐκείνων ἀρχῆς, διεξιόντες δ᾽ ὡς
68 δίκαιόν ἐστιν αὐτονόμους εἶναι τοὺς Ἕλληνας; τίνας δὲ τῶν πόλεων τῶν ἐλλογίμων[2] οὐ παρεκαλέσαμεν ἐπὶ τὴν συμμαχίαν τὴν ὑπὲρ τούτων συστᾶσαν; πόσας δὲ πρεσβείας ὡς βασιλέα τὸν μέγαν[3] ἀπεστείλαμεν, διδαξούσας αὐτὸν, ὡς οὔτε δίκαιόν ἐστιν οὔτε συμφέρον μίαν πόλιν κυρίαν εἶναι τῶν Ἑλλήνων; οὐ πρότερον δ᾽ ἐπαυσάμεθα πολεμοῦντες καὶ κινδυνεύοντες καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν[4], πρὶν ἠθέλησαν Λακεδαιμόνιοι ποιήσασθαι τὰς συνθήκας τὰς περὶ τῆς αὐτονομίας.
69 Ὅτι μὲν οὖν οὐ δίκαιόν ἐστι τοὺς κρείττους[5] τῶν ἡττόνων[6] ἄρχειν, ἐν ἐκείνοις τε τοῖς χρόνοις τυγχάνομεν

1) Ποίους λόγους οὐκ ἀνηλώσαμεν] Τὴν τοῦ, ἀναλῶσαι λόγους, μεταφορὰν οἶδε καὶ ἡ συνήθεια ἐν τῷ, ἐξοδιάζω τὰ λόγια μου ματαίως. Οὐκ ἀνηλώσαμεν = δὲν ἐξωδιάσαμεν ματαίως.

2) Ἐλλογίμων] = ἐπισήμων, σημαντικῶν, μεγάλων, ἐξαιρέτων, ἐξακουστῶν.

3) Βασιλέα τὸν μέγαν] ὅρα σελ. 28 σημ. 2.

4) Καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν] καὶ διὰ ξηρᾶς καὶ διὰ θαλάσσης

5) Κρείττους] Κρείσσων. Ἀττ. κρείττων· ἰσχυρότερος, καλήτερος, ἀνδρειότερος· παρὰ τοῖς Ἀττ. λογογραφ. ἐπὶ ἠθικῆς σημσ. Καλήτερος, εὐγενέστερος τὰ ἤθη, ἠθικῶς ὑπερέχων· συνηθ. ἀντθτ. ἥττων.

6) Ἡττόνων] Ἥσσων. Ἀττ. ἥττων· χειρότερος, κατώτερος, ἀδυνατώτερος. Παράγεται ἐκ τοῦ, ἥμισυς, ἡμισίων, καὶ συγκοπῇ, Ἥσσων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐγνωκότες καὶ νῦν ἐπὶ τῆς πολιτείας τῆς παρ' ἡμῖν καθεστηκυίας.

(κγ΄.) Ὡς δ' οὐδ' ἂν δυνηθεῖμεν τὴν ἀρχὴν ταύτην καταστρέψασθαι, ταχέως οἶμαι δηλώσειν. Ἣν γὰρ μετὰ μυρίων ταλάντων[1] οὐχ οἷοί τ' ἦμεν διαφυλάξαι, πῶς ἂν ταύτην ἐκ τῆς παρούσης ἀπορίας κτήσασθαι δυνηθεῖμεν, ἄλλως τε καὶ χρώμενοι τοῖς ἤθεσιν οὐχ οἷς ἐλάβομεν ἀλλ' οἷς ἀπωλέσαμεν αὐτήν; (κδ΄.) Ὡς τοίνυν 70
οὐδὲ δέξασθαι διδομένην τῇ πόλει συμφέρει, δοκεῖτέ μοι τάχιστ' ἂν ἐκεῖθεν καταμαθεῖν. Μᾶλλον δὲ καὶ περὶ τούτων βούλομαι μικρὰ προειπεῖν· δέδοικα γάρ, μὴ διὰ τὸ πολλοῖς ἐπιτιμᾶν δόξω τισὶ προῃρῆσθαι τῆς πόλεως κατηγορεῖν.

(κε΄.) Ἐγὼ δ' εἰ μὲν πρὸς ἄλλους τινὰς ἐπεχείρουν 71
οὕτω διεξιέναι περὶ τῶν πραγμάτων, εἰκότως[2] ἂν εἶχον τὴν αἰτίαν ταύτην· νῦν δὲ πρὸς ὑμᾶς ποιοῦμαι τοὺς λόγους, οὐ διαβάλλειν ἑτέροις ἐπιθυμῶν ἀλλ' αὐτοὺς

1) Μυρίων ταλάντων] Πλείω ἢ μύρια τάλαντα, λέγει Δημοσθένης ('Ολυνθ. Γ'.24), ἐν τῇ ἀκροπόλει ἀποκείμενα ὑπάρξαι τοῖς 'Αθηναίοις, ὅτε ηὐτύχουν, ὑπερβολικώτερον δηλονότι τῷ λόγῳ χρησάμενος· τὰ γὰρ πλεῖστα, φησὶ Θουκυδίδης (Β. ιγ'.) τριακοσίων ἀποδέοντα μύρια γενέσθαι, ὑπάρχειν δ' ἔτι ἐν τῇ ἀκροπόλει, ἀρχομένου τοῦ Πελοποννησιακοῦ πολέμου, ἐπὶ Περικλέους, ἀργυρίου ἐπισήμου ἑξακισχίλια τάλαντα. Καὶ ἀπορῆσαι ἄξιον πῶς 'Ανδοκίδης τε (περὶ τῆς πρὸς Λακεδ. εἰρήν.) καὶ Αἰσχίνης (περὶ παραπρεσβ.) ἑπτακισχίλια τάλαντα ἀνηνέχθαι φασὶν εἰς τὴν ἀκρόπολιν ἐπὶ Νικίου τοῦ Νικηράτου.

2) Εἰκότως] ἐπιρρ. 'Αττ. μετχ. παρκ. ἔοικα. εἶκα. Κατὰ πιθανόν, ἐνδεχόμενον τρόπον, καθὼς εἶναι πιθανόν, καθὼς ἐνδέχεται, ἠμπορεῖ νὰ γένῃ, νὰ ἦναι, κ.τ.τ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βουλόμενος παῦσαι τῶν τοιούτων ἔργων, καὶ τὴν εἰρήνην, περὶ ἧς ἅπας[1] ὁ λόγος ἐστὶ, βεβαίως καὶ τὴν πό-
72 λιν καὶ τοὺς ἄλλους Ἕλληνας ἀγαγεῖν. Ἀνάγκη δὲ τοὺς νουθετοῦντας καὶ τοὺς κατηγοροῦντας τοῖς μὲν λόγοις χρῆσθαι παραπλησίοις, τὰς δὲ διανοίας ἔχειν ἀλλήλοις ὡς οἷόν τ' ἐναντιωτάτας[2]. Ὥστε περὶ τῶν ταὐτὰ λεγόντων οὐκ ἀεὶ προσήκει τὴν αὐτὴν ὑμᾶς γνώμην ἔχειν, ἀλλὰ τοὺς μὲν ἐπὶ βλάβῃ λοιδοροῦντας μισεῖν ὡς κακόνους[3] ὄντας τῇ πόλει, τοὺς δ' ἐπ' ὠφελείᾳ νουθετοῦντας ἐπαινεῖν καὶ βελτίστους τῶν πολι-
73 τῶν νομίζειν, καὶ τούτων αὐτῶν μάλιστα τὸν ἐναργέστατα δυνάμενον δηλῶσαι[4] τάς τε πονηρίας τῶν πράξεων καὶ τὰς συμφορὰς τὰς ἀπ' αὐτῶν γιγνομένας·

1) Ἅπας] ὅλος ὁμοῦ, διόλου· (ἐκ τοῦ πᾶς, καὶ α ἀθροιστικοῦ, ἅμα πᾶς.).

2) Ἀνάγκη δὲ τοὺς νουθετοῦντας.... τὰς δὲ διανοίας ἔχειν ἀλλήλοις ὡς οἷόν τ' ἐναντιωτάτας. Ὁ νοῦς· Οἵ τε νουθετοῦντες καὶ οἱ κατηγοροῦντες παραπλησίοις μὲν ἐξ ἀνάγκης χρῶνται τοῖς λόγοις, ἐπεὶ περὶ ἁμαρτημάτων αὐτοὺς ἑκάτεροι ποιοῦνται· τάς γε μὴν διανοίας ἐναντιωτάτας ἔχουσι πρὸς ἀλλήλους· οἱ μὲν γὰρ νουθετοῦντες ἐπ' ὠφελείᾳ τῶν ἁμαρτημάτων καθάπτονται, παῦσαι τούτων τὸν νουθετούμενον βουλόμενοι· οἱ δὲ κατηγοροῦντες, κακόνοι ὄντες τῷ ἁμαρτάνοντι, ἐπὶ τῷ ὀνειδίζειν μᾶλλον, ἢ ἐπανορθοῦν αὐτὸν τοῦτο ποιοῦσι.

3) Κακόνους] Κακόνοος, ον καὶ συναλ. κακόνους, ουν, Ἀττ. Πληθ. κακόνοι (νόος νοῦς). Ὁ κακὸν σκοπὸν ἔχων· ὁ κακὸν νοῦν ἔχων· κακόβουλος, κακογνώμων· ἀντίκ. τῷ εὔνους.

4) Τὸν ἐναργέστατα δυνάμενον δηλῶσαι] Ἔστι δὲ τοῦτο ὃ καλεῖ Ἀριστοτέλης (Ῥητορικ. Γ. ια') «τὰ πρὸ ὀμμάτων ποιεῖν» μεγίστην ἔχον ἐν ῥητορικῇ δύναμιν, ἂν μὴ θηρίου ψυχὴν ἔχῃ ὁ ἀκούων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὗτος γὰρ ἂν τάχιστα ποιήσειεν ὑμᾶς, μισήσαντας ἃ
δεῖ, βελτιόνων ἐπιθυμῆσαι πραγμάτων. Ὑπὲρ μὲν οὖν
τῆς τῶν λόγων τραχύτητος καὶ τῶν εἰρημένων καὶ τῶν
ῥηθήσεσθαι μελλόντων ταῦτ' ἔχω λέγειν πρὸς ὑμᾶς· ὅθεν
δ' ἀπέλιπον, πάλιν ποιήσομαι τὴν ἀρχήν.
(κϛʹ.) Ἔφασκον γὰρ ἐκεῖθεν κάλλιστ' ἂν ὑμᾶς κατα- 74
μαθεῖν, ὡς οὐ συμφέρει λαβεῖν τὴν κατὰ θάλατταν ἀρ-
χὴν, εἰ σκέψαισθε, τίνα τρόπον ἡ πόλις διέκειτο πρὶν τὴν
δύναμιν ταύτην κτήσασθαι, καὶ πῶς ἐπειδὴ[1] κατέσχεν
αὐτήν· ἢν γὰρ ταῦτα παρ' ἄλληλα τῇ διανοίᾳ θεωρή-
σητε, γνώσεσθ' ὅσων κακῶν αἰτία τῇ πόλει γέγονεν.
(κζʹ.) Ἡ μὲν τοίνυν πολιτεία τοσούτῳ βελτίων ἦν 75
καὶ κρείττων ἡ τότε τῆς ὕστερον καταστάσης, ὅσῳ περ
Ἀριστείδης καὶ Θεμιστοκλῆς καὶ Μιλτιάδης ἄνδρες ἀ-
μείνους ἦσαν Ὑπερβόλου[2] καὶ Κλεοφῶντος[3] καὶ τῶν

1) Ἐπειδὴ] Ἐπίρρημα ἐνταῦθα χρονικόν, οὐ σύνδεσμος τὸ ἐπειδή.

2) Ὑπερβόλου] Ὑπέρβολος δημαγωγὸς ἐν Ἀθήναις, πρότερον λυχνοπώλης, ἀνὴρ πονηροῦ καὶ ἀχρείου χαρακτῆρος, ὅστις μετὰ τὸν θάνατον τοῦ Κλέωνος σφετερισθεὶς τὴν ὑπερτάτην ἐξουσίαν ἐν Ἀθήναις ἐξωρίσθη ὑπὸ τοῦ δήμου, ἀποθανὼν ἐν μεγάλῃ πενίᾳ· Ἀριστοφ. Ἱππ. 1318. Βατρ. 570. Θουκ. ηʹ, 73.

3) Κλεοφῶντος] Κλεοφῶν, στρατηγὸς τῶν Ἀθηναίων, υἱὸς μιᾶς Θράσσης γυναικὸς καὶ δημαγωγὸς ἐν Ἀθήναις παρακινῶν ἀείποτε τὸν λαὸν εἰς πόλεμον· διὰ δὲ τὸν ἀχρεῖον αὐτοῦ χαρακτῆρα καὶ διὰ μίαν πραχθεῖσαν παρανομίαν κατηγορηθεὶς ὑπὸ τῶν Ἀθηναίων καὶ βληθεὶς εἰς τὰ δεσμὰ ἐφονεύθη τελευταῖον ἐν καιρῷ μιᾶς συμβάσης ταραχῆς τοῦ λαοῦ. τοῦτον κατακωμῳδεῖ ὁ Ἀριστοφάνης ὡς ἀλλοεθνῆ, ἐν Βατρ. 678. 1504. Ξενοφ. Ἑλλ. αʹ, 4, 40. Αἰλ. ποικ. Ἱστ. ιβʹ, 43.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νῦν δημηγορούντων· τὸν δὲ δῆμον εὑρήσετε τὸν τότε πολιτευόμενον οὐκ ἀργίας οὐδ' ἀπορίας οὐδ' ἐλπίδων
76 κενῶν ὄντα μεστὸν, ἀλλὰ νικᾶν μὲν δυνάμενον ἐν ταῖς μάχαις ἅπαντας τοὺς εἰς τὴν χώραν εἰσβάλλοντας, ἀριστείων δ' ἀξιούμενον ἐν τοῖς ὑπὲρ τῆς Ἑλλάδος κινδύνοις, οὕτω δὲ πιστευόμενον ὥστε τὰς πλείστας αὐτῷ[1]
77 τῶν πόλεων ἑκούσας ἐγχειρίσαι σφᾶς αὐτάς[2]. Τούτων δ' ὑπαρχόντων ἀντὶ μὲν τῆς πολιτείας τῆς παρὰ πᾶσιν εὐδοκιμούσης ἐπὶ τοιαύτην ἀκολασίαν ἡ δύναμις ἡμᾶς αὕτη προήγαγεν, ἣν οὐδεὶς ἂν ἀνθρώπων ἐπαινέσειεν· ἀντὶ δὲ τοῦ νικᾶν τοὺς ἐπιστρατεύοντας[3] οὕτω τοὺς πολίτας ἐπαίδευσεν ὥστε μηδὲ πρὸ τῶν τειχῶν
78 τολμᾶν ἐπεξιέναι τοῖς πολεμίοις· ἀντὶ δὲ τῆς εὐνοίας τῆς παρὰ τῶν συμμάχων αὐτοῖς ὑπαρχούσης καὶ τῆς δόξης τῆς παρὰ τῶν ἄλλων Ἑλλήνων εἰς τοσοῦτον μῖσος κατέστησεν, ὥστε παρὰ μικρὸν ἐλθεῖν ἐξανδραποδισθῆναι τὴν πόλιν, εἰ μὴ Λακεδαιμονίων τῶν ἐξ ἀρχῆς πολεμούντων εὐνουστέρων ἐτύχομεν ἢ τῶν πρότε-
79 ρον ἡμῖν συμμάχων ὄντων[4]. Οἷς οὐκ ἂν δικαίως ἐγ-

1) Αὐτῷ] τῷ δήμῳ.

2) Σφᾶς αὐτὰς] διὰ τό, πόλεων.

3) Ἐπιστρατεύοντας] Ἐπιστρατεύω. μελ. εὔσω. Ἐκστρατεύω, εὐγαίνω, κινῶ μὲ στράτευμα ἐναντίον τινός· μετὰ δοτ. ἀλλὰ καὶ μετὰ αἰτ. πολεμῶ τινα, Valck. ἐν Φοιν. 292 ἐξαιρ. κατὰ μεσ. διάθ. χρήσιμον.

4) Τῶν πρότερον ἡμῖν συμμάχων ὄντων] Τοὺς Θηβαίους αἰνίττεται, περὶ ὧν ἐκδηλότερον ἐν τῷ Πλαταϊκῷ §. ιγ΄. 30. Ἐμνημόνευσε δὲ καὶ Δημοσθένης (περὶ παραπρεσβ. σ. 212)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καλοῖμεν, ὅτι χαλεπῶς πρὸς ἡμᾶς διετέθησαν· οὐ γὰρ ὑπάρχοντες ἀλλ᾽ ἀμυνόμενοι καὶ πολλὰ καὶ δεινὰ παθόντες τοιαύτην γνώμην ἔσχον περὶ ἡμᾶς. (κη᾽.) Τίς γὰρ ἂν ὑπέμεινε τὴν ἀσέλγειαν τῶν πατέρων τῶν ἡμετέρων, οἳ συναγαγόντες ἐξ ἁπάσης τῆς Ἑλλάδος τοὺς ἀργοτάτους[1] καὶ τοὺς ἁπασῶν τῶν πονηριῶν μετέχοντας, πληροῦντες τούτων τὰς τριήρεις, ἀπηχθάνοντο τοῖς Ἕλλησι, καὶ τοὺς μὲν βελτίστους τῶν ἐν ταῖς ἄλλαις πόλεσιν ἐξέβαλλον, τοῖς δὲ πονηροτάτοις τῶν Ἑλλήνων[2] τἀκείνων διένεμον; ἀλλὰ γὰρ εἰ τολμήσαιμι περὶ τῶν ἐν ἐκείνοις τοῖς πράγμασιν ἐγγενομένων ἀκριβῶς διελθεῖν, ὑμᾶς μὲν ἴσως ἂν ποιήσαιμι βέλτιον βουλεύσασθαι περὶ τῶν παρόντων, αὐτὸς δ᾽ ἂν διαβληθείην· εἰώ-

τοῦ ὑπὸ Θηβαίων προτεθέντος ἀνδραποδισμοῦ τῶν Ἀθηναίων· περὶ οὗ ταῦτα ὁ Οὐλπιανός· «Μετὰ τὸν Πελοποννησιακὸν πόλεμον, καταχρατήσαντες ἰσχυρῶς οἱ Λακεδαιμόνιοι, προέθεντο ψῆφον περὶ τῶν Ἀθηναίων τοῖς ἰδίοις συμμάχοις ὥστε ἀποκρίνεσθαι ἕκαστον, τί βούλεται παθεῖν τοὺς Ἀθηναίους. Εἶτα Εὔανθός τις Θηβαῖος ἐψηφίσατο, τὴν μὲν πόλιν αὐτῶν κατασκαφῆναι, τὴν δὲ χώραν μηλόβοτον γενέσθαι, ἵν᾽ ἐκεῖ νέμωνται τὰ τῶν Βοιωτῶν πρόβατα. Οἱ δὲ Φωκεῖς, ὄντες καὶ αὐτοὶ τότε ὑπὸ τοῖς Λακεδαιμονίοις, ἀντέλεξαν, συμβουλεύσαντες μὴ ἑτερόφθαλμον τὴν Ἑλλάδα ποιῆσαι, αἰνιττόμενοι δύο ὀφθαλμοὺς εἶναι τῆς Ἑλλάδος, τήν τε Ἀθηναίων πόλιν καὶ τὴν τῶν Λακεδαιμονίων· καὶ οὕτω πεισθέντες οἱ Λακεδαιμόνιοι, οὐ κατέσκαψαν λοιπὸν τὴν πόλιν.»

1) Ἀργοτάτους] Ἀργὸς ὁ, ἡ· ἔτι δὲ καὶ τριγενῶς (ἀργή. σπανίως) κατὰ συγκ. τοῦ ἄεργος· ὡς καὶ παρ᾽ ἡμῖν· ἀργός, ἀκαμάτης, ὀκνηρός· ὅστις δὲν ἐργάζεται, δὲν δουλεύει.

2) Τοῖς δὲ πονηροτάτοις τῶν Ἑλλήνων] οὓς ἀνωτέρω (§.ις᾽.) κοινοὺς ἁπάντων ἐχθροὺς ὠνόμασε.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

81 θατε γὰρ μισεῖν οὐχ οὕτω τοὺς αἰτίους τῶν ἁμαρτημάτων ὡς τοὺς κατηγοροῦντας αὐτῶν. Τοιαύτην οὖν ὑμῶν γνώμην ἐχόντων δέδοικα, μὴ πειρώμενος ὑμᾶς εὐεργετεῖν αὐτὸς ἀπολαύσω τι φλαῦρον[1]. Οὐ μὴν ἀποστήσομαι παντάπασιν ὧν διενοήθην, ἀλλὰ τὰ μὲν πικρότατα καὶ μάλιστ' ἂν ὑμᾶς λυπήσαντα παραλείψω, μνησθήσομαι δὲ τούτων μόνον, ἐξ ὧν γνώσεσθε τὴν
82 ἄνοιαν τῶν τότε πολιτευομένων. (κθ΄.) Οὕτω γὰρ ἀκριβῶς εὕρισκον, ἐξ ὧν ἄνθρωποι μάλιστ' ἂν μισηθεῖεν, ὥστ' ἐψηφίσαντο τὸ περιγιγνόμενον τῶν πόρων ἀργύριον διελόντες κατὰ τάλαντον εἰς τὴν ὀρχήστραν τοῖς Διονυσίοις εἰσφέρειν[2], ἐπειδὰν πλῆρες ᾖ τὸ θέατρον· καὶ τοῦτ' ἐποίουν καὶ παρεισῆγον τοὺς παῖδας τῶν ἐν τῷ πολέμῳ τετελευτηκότων[3], ἀμφοτέροις ἐπιδεικνύοντες,

1) Φλαῦρον] Φλαῦρος,α,ον. Ἀττικ. ἀντὶ τοῦ φαῦλος. Εὑρίσκεται ὅμως καὶ παρὰ Σολ. Ἰω. Ἐλγ. 5,15 καὶ παρὰ Πινδ. μάλιστα δὲ καὶ παρ' Ἡρδτ. Ἐπίρρ. φλαύρως. «Φλαύρως ἀκούει.» καθὼς τὸ Λατ. male audire, ἔχει κακὴν φήμην, κακὸν ὄνομα. Ἡροδτ. 7, 10, 7.

2) Τῶν πόρων ἀργύριον ...τοῖς Διονυσίοις εἰσφέρειν] Ἀθηναῖοι τὸ ἐκ τῶν φόρων περιγιγνόμενον ἀργύριον καὶ εἰς τὴν ἀκρόπολιν ἀποκείμενον ἐν τοῖς Διονυσίοις, ὁπότε δηλαδὴ πλεῖστοι ξένοι ἐπεδήμουν κατὰ θέαν Ἀθήνησιν, ἐπιδεικνύμενοι τούτοις τὸν πλοῦτον καὶ τὴν εὐδαιμονίαν, εἰσέφερον ὡς ἐν πομπῇ εἰς τὸ θέατρον, καὶ οἱ φέροντες ἐβάσταζον αὐτὸ κατὰ τάλαντον, ἵνα καὶ οἱ ξένοι ἀριθμεῖν ἔχοιεν τὸν πλοῦτον τῶν Ἀθηναίων.

3) Παρεισῆγον τοὺς παῖδας τῶν ἐν τῷ πολέμῳ τετελευτηκότων] Ἐν Διονυσίοις ἔθος ἦν Ἀθήνησιν εἰσάγειν τοὺς ὀρφανοὺς τῶν ἐν τῷ πολέμῳ τετελευτηκότων εἰς τὸ θέατρον, ἐκείνους δηλονότι, οὓς ἡ πόλις θρέ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῖς μὲν συμμάχοις τὰς τιμὰς τῆς οὐσίας αὐτῶν ὑπὸ μισθωτῶν εἰσφερομένας, τοῖς δ' ἄλλοις Ἕλλησι τὸ πλῆθος τῶν ὀρφανῶν καὶ τὰς συμφορὰς τὰς διὰ τὴν πλεονεξίαν ταύτην γιγνομένας. Καὶ ταῦτα δρῶντες αὐτοί τε 83
τὴν πόλιν εὐδαιμόνιζον καὶ πολλοὶ τῶν νοῦν οὐκ ἐχόντων ἐμακάριζον αὐτήν, τῶν μὲν συμβήσεσθαι διὰ ταῦτα μελλόντων οὐδεμίαν ποιούμενοι πρόνοιαν, τὸν δὲ πλοῦτον θαυμάζοντες καὶ ζηλοῦντες, ὃς ἀδίκως εἰς τὴν πόλιν εἰσελθὼν καὶ τὸν δικαίως ὑπάρξαντα διὰ ταχέων ἤμελλε προσαπολεῖν. Εἰς τοῦτο γὰρ κατέστησαν τῶν μὲν οἰ- 84
κείων ἀμελείας, τῶν δ' ἀλλοτρίων ἐπιθυμίας, ὥστε Λακεδαιμονίων εἰσβεβληκότων εἰς τὴν χώραν καὶ τοῦ τείχους ἤδη τοῦ Δεκελειᾶσιν[1] ἑστηκότος εἰς Σικελίαν τριήρεις ἐπλήρουν[2], καὶ οὐκ ἠσχύνοντο τὴν μὲν πατρίδα τεμνομένην καὶ πορθουμένην περιορῶντες, ἐπὶ δὲ τοὺς

ψασα ἀφιέναι ἔμελλεν. Εἰσῆγε δ' αὐτούς, ὥς φησιν Αἰσχίνης (κατὰ Κτησιφ.) ὁ κῆρυξ πανοπλίᾳ κεκοσμημένους, καὶ παραστησάμενος, ἐκήρυττε ταῦτα: «Τούς δε τοὺς νεανίσκους, ὧν οἱ πατέρες ἐτελεύτησαν ἐν τῷ πολέμῳ, ἄνδρες ἀγαθοὶ γενόμενοι, μέχρι μὲν ἥβης ὁ δῆμος ἔτρεφε· νυνὶ δὲ καθοπλίσας τῇδε τῇ πανοπλίᾳ, ἀφίησιν ἀγαθῇ τύχῃ τρέπεσθαι ἐπὶ τὰ ἑαυτῶν, καὶ καλεῖ εἰς προεδρίαν.»

1) Δεκελειᾶσιν] Ὁ τόνος κατὰ τὸ Ὀλυμπιᾶσιν· τῶν τοιούτων τοπικῶν ὀνομάτων διαπεφώνηται ἡ γραφὴ οὐ μόνον τῇ ποιότητι, ἀλλὰ καὶ τῇ θέσει τοῦ τόνου, οἷον τὸ, Ὀλυμπιάσι, καὶ Ὀλυμπίασι, καὶ Ὀλυμπιᾶσι, καὶ τὰ τούτοις παραπλήσια. Περὶ δὲ τῆς Δεκελείας, ὅρα σελ. 22 σημ. 1.

2) Εἰς Σικελίαν τριήρεις ἐπλήρουν] Σημείωσαι τὴν ἔλλειψιν. Τὸ ἐντελὲς, τριήρεις ἐπλήρουν στρατιωτῶν, πεμφθησομένων (ἢ πεμφθησομένας) εἰς Σικελίαν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐδὲν πώποτ᾽ εἰς ἡμᾶς ἐξαμαρτόντας[1] στρατιὰν ἐκ-
85 πέμποντες, ἀλλ᾽ εἰς τοῦτ᾽ ἀφροσύνης ἦλθον, ὥστε τῶν προαστείων τῶν οἰκείων οὐ κρατοῦντες Ἰταλίας καὶ Σικελίας καὶ Καρχηδόνος ἄρξειν προσεδόκησαν. Τοσοῦτον δὲ διήνεγκαν ἀνοίᾳ πάντων ἀνθρώπων, ὥστε τοὺς μὲν ἄλλους αἱ συμφοραὶ συστέλλουσι[2] καὶ ποιοῦσιν ἐμφρονεστέρους, ἐκεῖνοι δ᾽ οὐδ᾽ ὑπὸ τούτων ἐπαιδεύθησαν.
86 Καίτοι πλείοσι καὶ μείζοσι περιέπεσον ἐπὶ τῆς ἀρχῆς ταύτης τῶν ἐν ἅπαντι τῷ χρόνῳ τῇ πόλει γεγενημένων. Εἰς Αἴγυπτον μέν γε διακόσιαι πλεύσασαι τριήρεις αὐτοῖς τοῖς πληρώμασι διεφθάρησαν, περὶ δὲ Κύπρον πεντήκοντα καὶ ἑκατόν· ἐν Δάτῳ[3] δὲ μυρίους ὁπλίτας αὑτῶν καὶ τῶν συμμάχων ἀπώλεσαν, ἐν Σικελίᾳ δὲ τέτταρας μυριάδας καὶ τριήρεις τετταράκοντα καὶ διακοσίας, τὸ δὲ τελευταῖον ἐν Ἑλλησπόντῳ διακοσίας.
87 Τὰς δὲ κατὰ δέκα καὶ πέντε καὶ πλείους τούτων ἀπολλυμένας καὶ τοὺς κατὰ χιλίους καὶ δισχιλίους ἀποθνήσκοντας τίς ἂν ἐξαριθμήσειεν; πλὴν ἓν ἦν τοῦτο τῶν ἐγκυκλίων[4], ταφὰς ποιεῖν καθ᾽ ἕκαστον τὸν ἐνιαυτόν, εἰς

1) Ἐξαμαρτόντας] τοὺς Σικελιώτας.

2) Συστέλλουσι] Μετριωτέρους ποιοῦσιν· ἀπὸ μεταφορᾶς τῶν ὑποχωρούντων εἰς ἑαυτὰ καὶ μικροτέρων γινομένων· ὅθεν καὶ ἡ συνήθεια τὸ κατὰ μέσην διάθεσιν, συστέλλομαι.

3) Δάτῳ] Τὸ Δάτον, καὶ ἡ Δάτος· πόλις τῆς Θρᾴκης ἐπὶ τῆς χώρας τῶν Ἠδωνῶν, κειμένη πλησίον τοῦ Παγγαίου ὄρους καὶ τῆς πόλεως Φιλίππων, τανῦν Καβάλα, λιμὴν τῶν Φιλίππων—τὸ Δάτον παρ᾽ Ἡροδτ. καὶ ἡ Δάτος παρὰ Σκύλ. ὅθεν, Δατηνός, ὁ κάτοικος.

4) Τῶν ἐγκυκλίων] ἀντὶ τοῦ, τῶν ἐγκυκλίως συμ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ᾶς πολλοὶ καὶ τῶν ἀστυγειτόνων[1], καὶ τῶν ἄλλων Ἑλ-
λήνων ἐφοίτων, οὐ συμπενθήσοντες τοὺς τεθνεῶτας ἀλλὰ
συνηδόμενοι ταῖς ἡμετέραις συμφοραῖς. Τελευτῶντες δ' 88
ἔλαθον σφᾶς αὐτοὺς τοὺς μὲν τάφους τοὺς δημοσίους
τῶν πολιτῶν ἐμπλήσαντες, τὰς δὲ φρατρίας[2] καὶ τὰ
γραμματεῖα τὰ ληξιαρχικὰ[3] τῶν οὐδὲν τῇ πόλει προση-
κόντων. Γνοίη δ' ἄν τις ἐκεῖθεν μάλιστα τὸ πλῆθος τῶν
ἀπολλυμένων· τὰ γὰρ γένη τῶν ἀνδρῶν τῶν ὀνομαστο-
τάτων καὶ τοὺς οἴκους τοὺς μεγίστους, οἳ καὶ τὰς τυ-

βαινόντων, τουτέστι τῶν κοινῶς καὶ καθ' ἡμέραν, ὡς εἰπεῖν, κατὰ χιλίους καὶ δισχιλίους ἀποθνησκόντων. Τοῦτο γὰρ δύναται τὸ, ἐγκύκλια, ὡς καὶ ἐν τῷ Α'. τόμῳ σελ. 39 σημ. 1 εἰρήκαμεν.

1) Ἀστυγειτόνων] Ἀστυγείτων, ονος ὁ, ἡ. Ὅστις γειτονεύει, κατοικεῖ πλησίον εἰς τὴν πόλιν· ἐν γένει γείτων, συνορευτής. Ἡροδτ. 2.104.

2) Φρατρίας] Φατρία, ἡ φάτρα καὶ φράτρη ἔτι δὲ καὶ φρατρεία. Πολιτικὴ διαίρεσις τοῦ λαοῦ ἐπικρατείας τινός· ἥτις ἀναμφιβόλως εἶχε τὴν ἀρχὴν αὐτῆς ἐκ παλαιᾶς συγγενείας τινός. Ἐν Ἀθήναις δὲ, ὑποδιαίρεσις τῆς φυλῆς ὥσπερ ἐν Ῥώμῃ ἡ curia ἦν ὑποδρ. τοῦ tribus, ἑκάστη φυλὴ συνίστατο εἰς τρεῖς φράτρας ἢ φρατρίας, ὧν τὰ μέλη ὠνομάζοντο φράτορες, ὡς τὰ τῶν φυλῶν, φυλέται, καὶ ἑκάστη φράτρα εἶχε παντοῖα θρησκευτικὰ ἔθιμα, ἑορτὰς καὶ συμπόσια ἰδιαίτερα· πᾶσα φράτρα δὲ πάλιν παρεῖχε 30 γένη, ὧν τὰ μέλη γενῆται ἐλέγοντο, ὥστε κατὰ τὴν νομοθεσίαν τοῦ Σόλωνος ἦσαν ἐν Ἀθήναις 12 φρᾶτραι ἢ φρατρίαι καὶ 360 γένη· αἱ τῶν Ῥωμ. curiae ἦσαν ὅλως ὡς αἱ φρατρίαι, ὅθεν ὁ Διονυσ. Ἁλ. καὶ ὁ Πλούτρχ. ἑρμηνεύουσι τὸ curia ἀεὶ διὰ τοῦ, φρατρία.

3) Γραμματεῖα τὰ ληξιαρχικὰ] εἰς ἃ ἐνεγράφοντο οἱ τελεσθέντες τῶν παίδων (ὥς φησιν Ἁρποκρατίων), οἷς ἐξῆν ἤδη τὰ πατρῷα οἰκονομεῖν· παρ' ὃ καὶ τοὔνομα γέγονε, διὰ τὸ τῶν λήξεων ἄρχειν. Λήξεις δέ εἰσιν οἵ τε κλῆροι καὶ αἱ οὐσίαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ραννικὰς στάσεις καὶ τὸν Περσικὸν πόλεμον διέφυγον, εὑρήσομεν ἐπὶ τῆς ἀρχῆς[1], ἧς ἐπιθυμοῦμεν, ἀναστάτους
89 γεγενημένους. Ὥστ' εἴ τις σκοπεῖσθαι βούλοιτο περὶ τῶν ἄλλων ὥσπερ πρὸς δεῖγμα τοῦτ' ἀναφέρων, φανεῖμεν ἂν μικροῦ δεῖν ἀντηλλαγμένοι[2]. (λ'.) Καίτοι χρὴ πόλιν μὲν εὐδαιμονίζειν μὴ τὴν ἐξ ἁπάντων ἀνθρώπων εἰκῇ πολλοὺς πολίτας ἀθροίζουσαν ἀλλὰ τὴν τὸ γένος τῶν ἐξ ἀρχῆς τὴν πόλιν οἰκισάντων μᾶλλον τῶν ἄλλων διασῴζουσαν, ἄνδρας δὲ ζηλοῦν μὴ τοὺς τὰς τυραννίδας κατέχοντας. μηδὲ τοὺς μείζω δυναστείαν τοῦ δικαίου κεκτημένους, ἀλλὰ τοὺς ἀξίους μὲν ὄντας τῆς μεγίστης τιμῆς[3], στέργοντας δ' ἐπὶ ταῖς ὑπὸ τοῦ πλή-
90 θους διδομέναις. Ταύτης γὰρ ἕξιν οὔτ' ἀνὴρ οὔτε πόλις λαβεῖν ἂν δύναιτο σπουδαιοτέραν οὐδ' ἀσφαλεστέραν οὐδὲ πλείονος ἀξίαν· ἥνπερ οἱ περὶ τὰ Περσικὰ γενόμενοι σχόντες οὐχ ὁμοίως τοῖς λησταῖς ἐβίωσαν, τοτὲ μὲν πλείω τῶν ἱκανῶν ἔχοντες, τοτὲ δ' ἐν σιτοδείαις[4] καὶ πολιορκίαις καὶ τοῖς μεγίστοις κακοῖς καθεστῶτες, ἀλλὰ περὶ μὲν τὴν τροφὴν τὴν καθ' ἡμέραν οὔτ' ἐν ἐνδείαις οὔτ' ἐν ὑπερβολαῖς ὄντες, ἐπὶ δὲ τῇ τῆς πολιτείας δικαιοσύνῃ καὶ ταῖς ἀρεταῖς ταῖς αὑτῶν φιλοτι-
91 μούμενοι καὶ τὸν βίον ἥδιον τῶν ἄλλων διάγοντες. Ὧν

1) Ἐπὶ τῆς ἀρχῆς] τῆς κατὰ θάλατταν.

2) Ἀντηλλαγμένοι] ἄλλοι ἀντ' ἄλλων γεγονότες.

3) Τιμῆς] ἀρχῆς.

4) Σιτοδείαις] Σιτοδεία (δέομαι). Σπάνις, ἔλλειψις ἢ ἔνδεια σίτου, ἄρτου, καθόλου, ἔλλειψις τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, λιμός, πεῖνα, Ἡροδτ. α'. 22.94.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀμελήσαντες οἱ γενόμενοι μετ' ἐκείνους οὐκ ἄρχειν ἀλλὰ τυραννεῖν ἐπεθύμησαν, ἃ δοκεῖ μὲν τὴν αὐτὴν ἔχειν δύναμιν, πλεῖστον δ' ἀλλήλων κεχώρισται[1]· τῶν μὲν γὰρ ἀρχόντων ἔργον ἐστὶ τοὺς ἀρχομένους ταῖς αὑτῶν ἐπιμελείαις ποιεῖν εὐδαιμονεστέρους, τοῖς δὲ τυράννοις ἔθος καθέστηκε τοῖς τῶν ἄλλων πόνοις καὶ κακοῖς αὑτοῖς ἡδονὰς παρασκευάζειν. Ἀνάγκη δὲ τοὺς τοιούτοις ἔργοις ἐπιχειροῦντας τυραννικαῖς καὶ ταῖς συμφοραῖς περιπίπτειν, καὶ τοιαῦτα πάσχειν, οἷά περ ἂν καὶ τοὺς ἄλλους δράσωσιν. Ἃ καὶ τῇ πόλει συνέπεσεν· ἀντὶ μὲν γὰρ τοῦ φρουρεῖν τὰς τῶν ἄλλων ἀκροπόλεις[2] τῆς
αὑτῶν ἐπεῖδον τοὺς πολεμίους κυρίους γενομένους· ἀντὶ 92
δὲ τοῦ παῖδας ὁμήρους[3] λαμβάνειν ἀποσπῶντες ἀπὸ πατέρων καὶ μητέρων, πολλοὶ τῶν πολιτῶν ἠναγκάσθησαν τοὺς αὑτῶν ἐν τῇ πολιορκίᾳ χεῖρον παιδεύειν καὶ τρέφειν ἢ προσῆκον αὐτοῖς, ἀντὶ δὲ τοῦ γεωργεῖν τὰς

1) Κεχώρισται] Χωρίζω· Ἀττ. χωριῶ· ὡς καὶ παρ' ἡμῖν, Χωρίζω, ξεχωρίζω, διακρίνω. Παθτ. χωρίζεται, διαιρεῖται, ξεχωρίζεται, διακρίνεταί τις ἢ τι, ἀπό τινα ἢ ἀπό τι. Τρπκ. Διαφέρει, εἶναί τι, ἢ τις διαφορετικός. συνηθ. κατὰ παρακμ. κεχώρισμαι, μετὰ γενικ. πολλάκις παρ' Ἡρδτ. σπανιώτρ. μετὰ δοτ. Ἡροδτ. 4. 28. ἔτι δὲ καί, ἀπό τινος.

2) Ἀκροπόλεις] Ἀκρόπολις ἡ κεφαλὴ τῆς πόλεως, τὸ ὑψηλότερον καὶ ὀχυρώτερον μέρος τῆς πόλεως· ἢ τεῖχός τι ὠχυρωμένον, κείμενον εἰς τὸ ὑψηλότερον μέρος αὐτῆς εἰς προφύλαξιν. (Καστέλι, Κάστρον).

3) Ὁμήρους] τὸ ἐνέχυρον τὸ διδόμενον εἰς ἀσφάλειαν καὶ συντήρησιν τῆς συμφωνίας δύο πρότερον ἐχθρικῶς πρὸς ἀλλήλας διακειμένων πόλεων, Ξενοφ. Ὅθεν καὶ τὸ, ὁμηρεύειν ἐπὶ τῶν ἀνθρώπων τῶν διδομένων εἰς τοὺς ἐχθροὺς ὡς ἐνέχυρον, Ἡροδτ. Ζ', 99.



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χώρας τὰς ἀλλοτρίας πολλῶν ἐτῶν οὐδ᾽ ἰδεῖν[1] αὐτοῖς
93 ἐξεγένετο τὴν αὑτῶν. (λα΄.) Ὥστ᾽ εἴ τις ἡμᾶς ἐρωτήσειεν, εἰ δεξαίμεθ᾽ ἂν τοσοῦτον χρόνον ἄρξαντες[2] τοιαῦτα παθοῦσαν τὴν πόλιν ἐπιδεῖν, τίς ἂν ὁμολογήσειεν, πλὴν εἴ τις παντάπασιν ἀπονενοημένος[3] ἐστὶ καὶ μήθ᾽ ἱερῶν μήτε γονέων μήτε παίδων μήτ᾽ ἄλλου μηδενὸς φροντίζει πλὴν τοῦ χρόνου μόνον τοῦ καθ᾽ αὑτόν[4]; ὧν οὐκ ἄξιον τὴν διάνοιαν ζηλοῦν ἀλλὰ πολὺ μᾶλλον τῶν πολλὴν πρόνοιαν ποιουμένων καὶ μηδὲν ἧττον ὑπὲρ τῆς κοινῆς δόξης ἢ τῆς ἰδίας φιλοτιμουμένων καὶ προαιρουμένων μέτριον βίον μετὰ δικαιοσύνης μᾶλλον ἢ μέ-
94 γαν πλοῦτον μετ᾽ ἀδικίας. Καὶ γὰρ οἱ πρόγονοι τοιούτους αὑτοὺς παρασχόντας τήν τε πόλιν εὐδαιμονεστά-

1) Πολλῶν ἐτῶν οὐδ᾽ ἰδεῖν κ.τ.λ.] Διὰ γὰρ τὸ τοὺς πολεμίους ἐπιστρατεύειν τῇ χώρᾳ, κατὰ τὸν Πελοποννησιακὸν μάλιστα πόλεμον, οἱ γεωργοὶ καταλείποντες τοὺς ἀγρούς, καὶ τοὺς δήμους ἕκαστοι τοὺς ἑαυτῶν, εἰς τὸ ἄστυ συνηυλίζοντο. Διὸ καὶ ὁ χαριέστατος Ἀριστοφάνης σκώπτων τὴν περὶ τὸν πόλεμον μανίαν τῶν Ἀθηναίων, ἐπὶ σκηνῆς παράγει τὸν Δικαιόπολιν, τῶν χρηστῶν καὶ φρονίμων δηλονότι τινὰ πολιτῶν, ὡς καὶ τὸ πεπλασμένον ὄνομα δηλοῖ, δυσχεραίνοντα τὴν ἐξ ἀνάγκης ἐν ἄστει διατριβὴν καὶ λέγοντα (Ἀχαρν. 31.) «Ἀπορῶ, γράφω, παρατίλλομαι, λογίζομαι, ἀποβλέπων εἰς τὸν ἀγρόν, εἰρήνης ἐρῶν, στυγῶν μὲν ἄστυ, τὸν δ᾽ ἐμὸν δῆμον ποθῶν.»

2) Τοσοῦτον χρόνον ἄρξαντες] ἀπὸ τοῦ 471—404 π.Χ.

3) Ἀπονενοημένος] μετοχ. τοῦ ἀπονέομαι-οῦμαι. Ὁ ἀπονενοημένος· ὁ χαμένος, ὁ ἀπηλπισμένος, ὅστις ἀπὸ ἀπελπισίαν γίνεται τολμηρὸς εἰς κάθε πρᾶξιν. Ὅρα τὴν περιγραφὴν παρὰ Θεοφράστ. Χαρακτ. ς΄.

4) Τοῦ χρόνου... τοῦ καθ᾽ αὑτόν;] τοῦ ἐπιλοίπου βίου του.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

την τοῖς ἐπιγιγνομένοις παρέδοσαν καὶ τῆς αὐτῶν ἀρετῆς ἀθάνατον τὴν μνήμην κατέλιπον. Ἐξ ὧν ἀμφότερα ῥᾴδιόν[1] ἐστι καταμαθεῖν, καὶ τὴν χώραν ἡμῶν, ὅτι δύναται τρέφειν ἄνδρας ἀμείνους τῶν ἄλλων, καὶ τὴν καλουμένην μὲν ἀρχήν, οὖσαν δὲ συμφοράν, ὅτι πέφυκε[2] χείρους ἅπαντας ποιεῖν τοὺς χρωμένους αὐτῇ.

(λϐ΄.) Μέγιστον δὲ τεκμήριον· οὐ γὰρ μόνον ἡμᾶς 95
ἀλλὰ καὶ τὴν Λακεδαιμονίων πόλιν διέφθειρεν, ὥστε τοῖς εἰθισμένοις ἐπαινεῖν τὰς ἐκείνων ἀρετὰς οὐχ οἷόν τ᾽ ἐστὶν εἰπεῖν τοῦτον τὸν λόγον, ὡς ἡμεῖς μὲν διὰ τὸ δημοκρατεῖσθαι κακῶς ἐχρησάμεθα τοῖς πράγμασιν, εἰ δὲ Λακεδαιμόνιοι ταύτην τὴν δύναμιν[3] παρέλαβον, εὐδαίμονας ἂν καὶ τοὺς ἄλλους καὶ σφᾶς αὐτοὺς ἐποίησαν. Πολὺ γὰρ θᾶττον ἐν ἐκείνοις ἐπεδείξατο τὴν φύσιν τῆς αὐτῆς· τὴν γὰρ πολιτείαν, ἣν ἐν ἑπτακοσίοις ἔτεσιν[4] οὐδεὶς οἶδεν οὔθ᾽ ὑπὸ κινδύνων οὔθ᾽ ὑπὸ συμφο-

1) Ῥᾴδιον] εὔκολον, ῥᾴδιος, ία, ιον, καὶ Ἀττ. ὁ, ἡ· εὔκολος, εὔπορος, ὁ ἄνευ κόπου καὶ δυσκολίας κτώμενος ἢ γινόμενος, ἢ ταχέως γινόμενος, ἐκτελούμενος, κ.τ.τ. Ἐπιρρ. ῥᾳδίως· «ῥᾳδίως φέρειν»=ὑπομένειν εὐκόλως, μετ᾽ ἀδιαφορίας. Συγκριτ. καὶ ὑπερθετ. κατὰ κανόν. ῥᾳδιώτερος, ῥᾳδιώτατος, οὐδόλως σχεδὸν ἐν χρήσει· συνηθ. εὕρηται εὐχρ. τὸ ἀνώμ. συγκρτ. ῥᾴων, ονος. οὐδτ. ῥᾷον, καὶ τὸ ὑπερθ. ῥᾷστος, η, ον.

2) Πέφυκε] παρακμ. τοῦ φύω. Πέφυκα· Γεννᾶται, γίνεται. Μετὰ ἀπαρεμφ. εἶναι κατὰ φυσικὸν λόγον, συμβαίνει συνήθως, «πέφυκε γενέσθαι.» μετὰ γενικ. «πεφυκέναι τινός» τὸ ἀπό τινος κατάγεσθαι.

3) Ταύτην τὴν δύναμιν] τὴν κατὰ θάλατταν.

4) Ἑπτακοσίοις ἔτεσιν] Ἀπὸ Λυκούργου δηλονότι τοῦ συστήσαντος αὐτήν· καὶ σημειωτέα ἡ χρονολογία, καίπερ πολλὴν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρῶν κινηθεῖσαν[1], ταύτην ἐν ὀλίγῳ χρόνῳ σαλεῦσαι καὶ
96 λυθῆναι παρὰ μικρὸν ἐποίησεν. Ἀντὶ γὰρ τῶν καθεστώτων παρ' αὐτοῖς ἐπιτηδευμάτων τοὺς μὲν ἰδιώτας ἐνέπλησεν ἀδικίας, ῥᾳθυμίας[2], ἀνομίας, φιλαργυρίας, τὸ δὲ κοινὸν τῆς πόλεως[3] ὑπεροψίας μὲν τῶν συμμάχων, ἐπιθυμίας δὲ τῶν ἀλλοτρίων, ὀλιγωρίας[4] δὲ τῶν ὅρκων καὶ τῶν συνθηκῶν. Τοσοῦτον γὰρ ὑπερεβάλοντο τοὺς ἡμετέρους τοῖς εἰς τοὺς Ἕλληνας ἁμαρτήμασιν, ὅσον πρὸς τοῖς πρότερον ὑπάρχουσι σφαγὰς καὶ στάσεις ἐν ταῖς πόλεσιν ἐποίησαν, ἐξ ὧν ἀειμνήστους τὰς ἔχ-

ἐχόντων τὴν ἀμφισβήτησιν τῶν χρόνων, καθ' οὓς γέγονε Λυκοῦργος, ὥς φησι Πλούταρχ. (Λυκούρ. § α'.)

1) Κινηθεῖσαν] ταραχθεῖσαν.

2) Ῥᾳθυμίας] Ῥᾳθυμία· ῥᾳστώνη, ἀμέλεια, ὀκνηρία, ἀργία, νωθρότης, ἀφροντισία, ἡ πρὸς τοὺς πόνους καὶ τὰ ἔργα ἀνορεξία, Ξενοφ. Ἀπομν. γ'. ε'. 5. «Τὸ μὲν γὰρ θάρσος ἀμέλειάν τε καὶ ῥᾳθυμίαν καὶ ἀπείθειαν ἐμβάλλει·» λέγεται δέ καὶ ἐπὶ καλῆς καὶ κακῆς ἐννοίας· ἑπομένως 2) ἀντὶ τοῦ, τρυφή, ἡδυπάθεια, τέρψις κ.τ.τ

3) Τὸ δὲ κοινὸν τῆς πόλεως] τὸ κοινόν, ἡ πόλις, ὁ λαός, τὸ πλῆθος, τὸ συγκρατοῦν ἐν σύστημα, Ἡρόδτ. 6, «τὸ κοινὸν τῶν Σαμίων» ὡς καὶ ἐν τῇ συνηθείᾳ λέγομεν «τὸ κοινὸν τῆς πόλεως», ταὐτὸν τῷ ξύμπασα ἡ πόλις· ὅλοι οἱ πολῖται· οὕτω καὶ τὸ «κοινὸν τῶν Περσῶν.» Ξενοφ. Κύρ. Παιδ. Α'. Ε'. 4. Τὸ κοινὸν καλόν, ἤτοι τὸ καλόν, τὸ συμφέρον ὅλης τῆς κοινότητος· «Ἀπὸ κοινοῦ» κατὰ τὴν θέλησιν, ἢ τὴν ἀπόφασιν τοῦ λαοῦ, ἀλλὰ καὶ ἀντὶ τοῦ, Μὲ δημόσια ἔξοδα, ἀπὸ τὸ κοινὸν ταμεῖον· ὅθεν ἡ θηλχ. δοτχ. κοινῇ ὡς ἐπίρρμ.

4) Ὀλιγωρίας] Ὀλιγωρία· καταφρόνησις, παραμέλησις· 2) ἀπροσεξία, ἀμέλεια. Ἔστι δὲ ἡ ὀλιγωρία (κατ' Ἀριστοτέλ. Ῥητ. β'. 2) «ἐνέργεια δόξης περὶ τὸ μηδενὸς ἄξιον φαινόμενον.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θρας πρὸς ἀλλήλους ἔξουσιν. Οὕτω δὲ φιλοπολέμως καὶ 97
φιλοκινδύνως διετέθησαν, τὸν ἄλλον χρόνον πρὸς τὰ τοιαῦτα πεφυλαγμένως[1] μᾶλλον τῶν ἄλλων ἔχοντες, ὥστ' οὐδὲ τῶν συμμάχων οὐδὲ τῶν εὐεργετῶν ἀπέσχοντο τῶν σφετέρων αὐτῶν, ἀλλὰ βασιλέως[2] μὲν αὐτοῖς εἰς τὸν πρὸς ἡμᾶς πόλεμον πλέον ἢ πεντακισχίλια τάλαντα παρασχόντος, Χίων δὲ προθυμότατα πάντων τῶν συμμάχων τῷ ναυτικῷ συγκινδυνευσάντων,
Θηβαίων δὲ μεγίστην δύναμιν εἰς τὸ πεζὸν συμβαλο- 98
μένων, οὐκ ἔφθασαν τὴν ἀρχὴν κατασχόντες, καὶ Θηβαίοις μὲν εὐθὺς ἐπεβούλευσαν, ἐπὶ δὲ τὸν βασιλέα Κλέαρχον[3] καὶ στρατιὰν ἀνέπεμψαν, Χίων δὲ τοὺς μὲν πρώτους τῶν πολιτῶν ἐφυγάδευσαν, τὰς δὲ τριήρεις ἐκ τῶν νεωρίων[4] ἐξελκύσαντες ἁπάσας ᾤχοντο λαβόντες.

1) Πεφυλαγμένως] Ἐπιρρ. Προσεκτικῶς, μετὰ φυλακῆς, προσοχῆς, φρονήσεως.

2) Βασιλέως] τῶν Περσῶν

3) Κλέαρχον] Κλέαρχος, στρατηγὸς τῶν Λακεδαιμονίων, κατ' ἀρχὰς ἡγεμὼν τοῦ Βυζαντίου, ὕστερον δὲ ἐξορισθεὶς τῆς πατρίδος του ἦλθεν εἰς Σάρδεις πρὸς Κῦρον τὸν Νεώτερον, τὸν ὁποῖον ἠκολούθησεν εἰς τὴν κατὰ τοῦ ἀδελφοῦ του Ἀρταξέρξου ἐκστρατείαν ὡς στρατηγὸς ἑνὸς μέρους τοῦ Ἑλληνικοῦ στρατεύματος, εἰς τὴν ἐν Κουνάξοις μάχην μετὰ τῶν Περσῶν ἀντιπαραταχθεὶς γενναίως κατὰ τῶν βασιλικῶν στρατευμάτων ἔτρεψεν αὐτὰ εἰς παντελῆ φυγήν· μετὰ δὲ τὸν φόνον τοῦ Κύρου, συλληφθεὶς καὶ οὗτος μὲ τοὺς λοιποὺς τῶν Ἑλλήνων στρατηγοὺς διὰ προδοσίας ἐθανατώθη ὑπὸ τοῦ Τισσαφέρνους. Ξεν. Ἀναβ. α'. Θουκ.

4) Νεωρίων] Νεώριον· συνήθ. κατὰ πληθ. ἀριθμ. Στοαὶ (gallaries) κατὰ τὰ πλευρὰ τῶν λιμένων, ἔνθα κατεσκευάζοντο νέα πολεμικὰ πλοῖα, ἢ διωρθόνοντο παλαιά, ἔνθα καὶ ἐφέροντο τὸν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

99 (λγ΄.) Οὐκ ἐξήρκεσε δ᾽ αὐτοῖς ταῦτ᾽ ἐξαμαρτεῖν, ἀλλὰ περὶ τοὺς αὐτοὺς χρόνους ἐπόρθουν μὲν τὴν ἤπειρον[1], ὕβριζον δὲ τὰς νήσους, ἀνῄρουν δὲ τὰς ἐν Ἰταλίᾳ καὶ Σικελίᾳ πολιτείας καὶ τυράννους καθίστασαν, ἐλυμαίνοντο δὲ τὴν Πελοπόννησον καὶ μεστὴν στάσεων καὶ πολέμων ἐποίησαν. Ἐπὶ ποίαν γὰρ τῶν πόλεων οὐκ
100 ἐστράτευσαν; ἢ περὶ τίνας αὐτῶν οὐκ ἐξήμαρτον; οὐκ Ἠλείων μὲν μέρος τι τῆς χώρας ἀφείλοντο[2], τὴν δὲ

χειμῶνα εἰς τὴν ξηρὰν τὰ πλοῖα, ἄρα=νεώλκιον, καὶ ἔνθα ἐφυλάττοντο ὅλα τὰ πρὸς ἑτοιμασίαν καὶ παρασκευὴν τῶν πλοίων ἀναγκαῖα ὡς ἐν ἀρσανᾷ. Τὰ δὲ χωρίσματα καὶ αἱ ὑποδιαιρέσεις, τὰ τμήματα τοῦ νεωρίου, ὠνομάζονται νεώσοικοι.

1) Ἤπειρον] ἤπειρος· ἡ στερεὰ γῆ, ἡ ξηρά, ἀντίκειται τῇ θαλάσσῃ καὶ ταῖς νήσοις. Ἠπειρόνδε, ἀπὸ τῆς θαλάσσης πρὸς τὴν στερεάν Ἡ ἀπέναντι τῆς Ἰθάκης, ἥτις ὑστερωτέρως ἐκλήθη κατ᾽ ἐξοχὴν μὲ κύριον ὄνομα, Ἤπειρος· παρ᾽ Ἡρδτ. σημ. ἡ λέξις τὰ ἄνω χωρία πρὸς διαστολὴν τῶν παραθαλασσίων, μάλιστα «πόλις ἠπειρῶτις,» πόλις ἀπομεμακρυσμένη ἀπὸ τὰ παράλια· οἱ Ἀττικοὶ καλοῦσιν οὕτω ποτὲ μὲν τὴν Ἑλλάδα, ποτὲ δὲ τὴν Ἀσίαν, ἀμφοτέρας δέ, καὶ δισσαὶ ἤπειροι, δηλ. τὰ δύο μέρη τῆς γῆς, ἡ Ἑλλὰς ἢ Εὐρώπη, καὶ ἡ Ἀσία, κατὰ τὴν ἀρχαίαν διαίρεσιν τοῦ κόσμου, ἥτις παρεδέχθη μόνον δύο μέρη τοῦ κόσμου, καταλογιζομένη τὴν Αἴγυπτον εἰς τὴν Ἀσίαν, Σοφοκλῆς Τρ. 101, Κυρίως δὲ σημ. τό, ἄπειρος γῆ (μεγάλη στερεά).

2) Ἀφείλοντο] Ἀφαιρέω, ῶ μ. ήσω· ἀόρ. ἀφεῖλον· μεσ. ἀόρ. ἀφειλόμην. Τὸ μέσ. μᾶλλον εὔχρηστον ἢ τὸ ἐνεργ. ἐξαιρ. κατὰ σημσ. τοῦ παίρνω τίποτε ἀπό τινα, τὸν στερῶ ἀπὸ τίποτε, ἐπὶ τὸ πλεῖστον ὅμως, ὑπονοουμ. ὅτι θέλει τὸ μεταχειρισθῶ εἰς ὄφελος, εἰς ἀπόλαυσίν μου. Ἀφαιροῦμαί τινί τι καὶ τινά τι. Παρὰ τοῖς λογογράφοις χρησιμωτέρα ἡ σύνταξις τινά τι καὶ τινός τι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γῆν τὴν Κορινθίων ἔτεμον[1], Μαντινέας δὲ διῴκισαν [2], Φλειασίους δ' ἐξεπολιόρκησαν, εἰς δὲ τὴν Ἀργείων εἰσέβαλον, οὐδὲν δ' ἐπαύσαντο τοὺς μὲν ἄλλους κακῶς ποιοῦντες, αὐτοῖς δὲ τὴν ἧτταν τὴν ἐν Λεύκτροις παρασκευάζοντες; ἣν φασί τινες αἰτίαν γεγενῆσθαι τῇ Σπάρτῃ τῶν κακῶν, οὐκ ἀληθῆ λέγοντες· οὐ γὰρ διὰ ταύτην ὑπὸ τῶν συμμάχων ἐμισήθησαν, ἀλλὰ διὰ τὰς ὕβρεις τὰς ἐν τοῖς ἔμπροσθεν χρόνοις καὶ ταύτην ἡττήθησαν
καὶ περὶ τῆς αὑτῶν ἐκινδύνευσαν. Χρὴ δὲ τὰς αἰτίας 101
ἐπιφέρειν οὐ τοῖς κακοῖς τοῖς ἐπιγιγνομένοις, ἀλλὰ τοῖς πρώτοις τῶν ἁμαρτημάτων, ἐξ ὧν ἐπὶ τὴν τελευτὴν ταύτην κατηνέχθησαν[3]. Ὥστε πολὺ ἂν τις ἀληθέστερα τυγχάνοι λέγων, εἰ φαίη τότε τὴν ἀρχὴν αὐτοῖς γεγε-

1) Ἔτεμον] Τέμνω, μελ. τεμῶ, ἀόρ. ἔτεμον. «Τέμνειν γῆν, ἢ χώραν,» ἤτοι κόπτω τὰ καρποφόρα δένδρα μιᾶς γῆς, κατερημόνω ἢ κατερημάζω τὴν γῆν διὰ τοῦ κοψίματος τῶν δένδρων «Ἀγροὺς τέμνειν» ταὐτὸν τῷ δῃῶσαι, κακῶσαι, ἄγειν καὶ φέρειν ὡσαυτ.

2) Διῴκισαν] Διοικίζω. Κατοικίζω εἰς ξεχωριστὰς καὶ διεσπαρμένας κατοικίας, καὶ ἰδιαιτέρως ἐπὶ πολιτῶν κυριευθείσης πόλεως, οἵτινες ἐτίθεντο νὰ κατοικήσουν διεσπαρμένοι εἰς χωρία. ἀντθ. τῷ συνοικίζω.

3) Χρὴ δὲ τὰς αἰτίας.... κατηνέχθησαν] Σοφῶς εἰρημένον τοῦτο, ὡς καὶ ἕτερα πλεῖστα τῶν Ἰσοκράτους· ἁρμόζοι τ' ἂν μάλιστα λεγόμενον πρὸς ἐνίους τῶν προσποιουμένων εἶναι σοφῶν, οἵτινες οὐκ αἰσχύνονται τῶν τῆς Ἑλλάδος συμφορῶν τὰς αἰτίας τοῖς νῦν Ἕλλησιν ἀπαξαπάσας ἐπιφέροντες. Τοσούτου γὰρ δέουσιν οἱ νῦν ὄντες αὐτῶν αἴτιοι εἶναι, ὥστε τὰ δι' ἃς γεγόνασιν ἁμαρτήματα ἐπανορθοῦν καθ' ἑκάστην ἡμέραν πειρῶνται· καὶ ἐπανορθώσουσιν εὖ οἶδ' ὅτι.. «Τῶν πολιτῶν οἱ καλοί τε κἀγαθοί, καὶ τῶν θεατῶν ὅστις ἐστὶ δεξιός, κἀγὼ μετ' αὐτῶν, χὠ (καὶ ὁ) θεὸς ξυλλήψεται.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νῆσθαι τῶν συμφορῶν, ὅτε τὴν ἀρχὴν τῆς θαλάττης παρελάμβανον· ἐκτῶντο γὰρ δύναμιν οὐδὲν ὁμοίαν τῇ
102 πρότερον ὑπαρχούσῃ. Διὰ μὲν γὰρ τὴν κατὰ γῆν ἡγεμονίαν καὶ τὴν εὐταξίαν καὶ τὴν καρτερίαν τὴν ἐν αὐτῇ μελετωμένην ῥᾳδίως τῆς κατὰ θάλατταν δυνάμεως ἐπεκράτησαν, διὰ δὲ τὴν ἀκολασίαν τὴν ὑπὸ ταύτης τῆς ἀρχῆς[1] αὐτοῖς ἐγγενομένην ταχέως κἀκείνης τῆς ἡγεμονίας ἀπεστερήθησαν. Οὐ γὰρ ἔτι τοὺς νόμους ἐφύλαττον, οὓς παρὰ τῶν προγόνων παρέλαβον, οὐδ' ἐν τοῖς
103 ἤθεσιν ἔμενον οἷς πρότερον εἶχον, ἀλλ' ὑπολαβόντες ἐξεῖναι[2] ποιεῖν αὐτοῖς, ὅ,τι ἂν βουληθῶσιν, εἰς πολλὴν ταραχὴν κατέστησαν. Οὐ γὰρ ᾔδεσαν τὴν ἐξουσίαν, ἧς πάντες εὔχονται τυχεῖν, ὡς δύσχρηστός ἐστιν, οὐδ' ὡς παραφρονεῖν ποιεῖ τοὺς ἀγαπῶντας αὐτήν, οὐδ' ὅτι τὴν φύσιν ὁμοίαν ἔχει ταῖς ἑταίραις ταῖς ἐρᾶν μὲν αὐτῶν ποιούσαις, τοὺς δὲ χρωμένους ἀπολλυούσαις.

104 (λδ'.) Καίτοι φανερῶς ἐπιδέδεικται ταύτην ἔχουσα τὴν δύναμιν· τοὺς γὰρ ἐν πλείσταις ἐξουσίαις γεγενημένους ἴδοι τις ἂν ταῖς μεγίσταις συμφοραῖς περιπεπτωκότας[3], ἀρξαμένους ἀφ' ἡμῶν καὶ Λακεδαιμονίων.

1) Ὑπὸ ταύτης τῆς ἀρχῆς] τῆς κατὰ θάλατταν δηλονότι.

2) Ἐξεῖναι] Ἔξεστι, ἐξέσται, ἐξῆν, ἀποσπ. παρὰ τὸ ἄλλως ἄχρηστον ἔξειμι (εἰμί). Ἀπαρμφ. ἐξεῖναι· ἀφοῦ Μετοχ. Οὐδ. ἐξόν, ἀπολύτως. Ἐν ᾧ εἶναι ἢ ἦτο δυνατόν, συγχωρημένον, ἐλεύθερον, ἐν ᾧ ἠμπορεῖ, ἢ ἠμποροῦσέ τις.

3) Περιπεπτωκότας] Περιπίπτω, Μ. πεσοῦμαι (πίπτω, ἀνμλ.) Ἐπί τι ἢ περί τι πίπτω ὀλόγυρα, Ξεν. Ἀναβ. 1, 8, 28. «Καταπηδήσας ἀπὸ τοῦ ἵππου,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Αὗται γὰρ αἱ πόλεις καὶ πολιτευόμεναι πρότερον σω-
φρονέστατα καὶ δόξαν ἔχουσαι καλλίστην, ἐπειδὴ ταύ-
της ἔτυχον καὶ τὴν ἀρχὴν ἔλαβον, οὐδὲν ἀλλήλων διή-
νεγκαν, ἀλλ' ὥσπερ προσήκει τοὺς ὑπὸ τῶν αὐτῶν ἐπι-
θυμιῶν καὶ τῆς αὐτῆς νόσου διεφθαρμένους, καὶ ταῖς
πράξεσι ταῖς αὐταῖς ἐπεχείρησαν καὶ τοῖς ἁμαρτήμασι
παραπλησίοις ἐχρήσαντο καὶ τὸ τελευταῖον ὁμοίαις ταῖς
συμφοραῖς περιέπεσον. Ἡμεῖς τε γὰρ μισηθέντες ὑπὸ
τῶν συμμάχων καὶ περὶ ἀνδραποδισμοῦ[1] κινδυνεύσαν- 105
τες ὑπὸ Λακεδαιμονίων ἐσώθημεν, ἐκεῖνοί τε πάντων
αὐτοὺς ἀπολέσαι βουληθέντων ἐφ' ἡμᾶς καταφυγόντες
δι' ἡμῶν τῆς σωτηρίας ἔτυχον. Καίτοι πῶς χρὴ τὴν
ἀρχὴν ταύτην ἐπαινεῖν τὴν τὰς τελευτὰς οὕτω πονη-
ρὰς ἔχουσαν; ἢ πῶς οὐ μισεῖν καὶ φεύγειν τὴν πολλὰ
καὶ δεινὰ ποιεῖν ἀμφοτέρας τὰς πόλεις ἐπάρασαν καὶ
παθεῖν ἀναγκάσασαν;

(λε'.) Οὐκ ἄξιον δὲ θαυμάζειν, εἰ[2] τὸν ἄλλον χρόνον 106
ἐλάνθανεν ἅπαντας τοσούτων οὖσα κακῶν αἰτία τοῖς
ἔχουσιν αὐτήν, οὐδ' εἰ περιμάχητος ἦν ὑφ' ἡμῶν καὶ

περιπεσεῖν αὐτῷ (λέγεται)», ἔπεσεν ἐπάνω του· β) πίπτω μέσα, καταντῶ εἴς τι τοιουτοτρόπως, ὥστε δὲν ἠμπορῶ νὰ ἐκβῶ π. χ. «ἀδίκῃσι γνώμῃσι, τύχῃσι, δουλοσύνῃ,» δηλ. εἰς ἄδικον ψῆφον, γνώμην, δυστυχίαν, Ἡροδτ. 1, 96. 6, 16, 106. ὡσαύτως «συμφοραῖς» νόσῳ κ.τ.τ. ἐπὶ τὸ πολὺ εἰς κακόν τι καταντῶ, πλὴν ἐνίοτε καὶ εἰς ἄλλο τι μὴ κακόν· π. χ. Ἡρόδτ. 6, 105. 8, 94. ἔνθα σημαίνεται μόνον τὸ κατὰ συγκυρίαν ἢ συμβεβηκὸς γενόμενον.

1) Ἀνδραποδισμοῦ] Ὅρα σελ. 22 σημ. 2.

2) Θαυμάζειν, εἰ] Ὅρα σελ. 7 σημ. 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Λακεδαιμονίων· εὑρήσετε γὰρ τοὺς πλείστους τῶν ἀνθρώπων περὶ τὰς αἱρέσεις[1] τῶν πραγμάτων ἁμαρτάνοντας, καὶ πλείους μὲν ἐπιθυμίας ἔχοντας τῶν κακῶν ἢ τῶν ἀγαθῶν, ἄμεινον δὲ βουλευομένους ὑπὲρ τῶν ἐχ-
107 θρῶν ἢ σφῶν αὐτῶν. Καὶ ταῦτ' ἴδοι τις ἂν ἐπὶ τῶν μεγίστων· τί γὰρ οὐχ οὕτω γέγονεν; οὐχ ἡμεῖς μὲν τοιαῦτα προῃρούμεθα πράττειν, ἐξ ὧν Λακεδαιμόνιοι δεσπόται τῶν Ἑλλήνων κατέστησαν, ἐκεῖνοι δ' οὕτω κακῶς προὔστησαν[2] τῶν πραγμάτων ὥσθ' ἡμᾶς οὐ πολλοῖς ἔτεσιν ὕστερον πάλιν ἐπιπολάσαι[3] καὶ κυρίους γε-
108 νέσθαι τῆς ἐκείνων σωτηρίας; οὐχ ἡ μὲν τῶν ἀττικι-

1) Αἱρέσεις] Αἵρεσις (αἱρέομαι τὸ προαιρεῖσθαι γνώμην ποιεῖσθαι, διανοεῖσθαι, βουλεύεσθαι ἐκλογή· «αἵρεσιν δοῦναι» ἐκλογὴν ἐπιτρέπειν Ἡροδτ. 1, 11. Κλίσις, γνώμη, σκοπός, διάνοια, ἐξαίρεσις· β) ἐκλογὴ καὶ ἐξαίρ. προτίμησις βίου, διδασκαλίας, τρόπου, σχολείου, φατρίας, συστήματος, δόγματος· γ') αἵρ. τῆς δυνάμεως» Πλατ. Γοργ. 38 τὸ ἐπιθυμεῖν, ἐφίεσθαί τινος. Αἵρεσις (αἱρέω) τὸ λαμβάνειν, ἁρπάζειν, κυριεύειν, κρατεῖν, κυρίευσις, ἅλωσις, Θουκδ. «αἵρεσις πόλεως.»

2) Προὔστησαν] προΐστημι μελ. στήσω, ἀόρ. α'. προὔστησα, μετοχ. προστήσας, παρακ. προὔστηκα. Ἔμπροσθεν ἵστημι, βάλλω. Συνηθ. Μέσ. προΐσταμαι. Ἔμπροσθέν τινος, ἢ πρὸ τῶν ἄλλων ἁπάντων ἵστημι ἐμαυτόν, τὸν πρῶτον τόπον ἔχω, ὅ ἐστιν, ἀρχηγὸς καὶ πρῶτος εἰμί, προεδρεύω, ὅθεν α) Διοικῶ, κυβερνῶ, φροντίζω, ἐπιμελοῦμαι, ἐπιστατῶ, μετὰ γεν. Ἡροδτ. 5, 49. καὶ Θουκυδ. «Ὅσον τε χρόνον προὔστη τῆς πόλεως»· ὅσον καιρὸν διῴκησε τὴν πόλιν· καθόλου, προέχω, ὑπέρτερος εἰμί, ὅθεν «οἱ προεστῶτες» οἱ προὔχοντες· β) Ἐπιστασίαν τινὰ ἀναδέχομαι, ἐπιχειρῶ, λαμβάνω, τέχνης προΐσταμαι· γ) προβάλλω, προτίθημι, προφασίζομαι, κτλ.

3) Ἐπιπολάσαι] ὑπερτερῆσαι τῶν Λακεδαιμονίων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ζόντων πολυπραγμοσύνη λακωνίζειν τὰς πόλεις ἐποίησεν, ἡ δὲ τῶν λακωνιζόντων ὕβρις ἀττικίζειν τὰς αὐτὰς ταύτας ἠνάγκασεν; οὐ διὰ μὲν τὴν τῶν δημηγορούντων πονηρίαν αὐτὸς ὁ δῆμος ἐπεθύμησε τῆς ὀλιγαρχίας τῆς ἐπὶ τῶν τετρακοσίων καταστάσης, διὰ δὲ τὴν τῶν τριάκοντα μανίαν ἅπαντες δημοτικώτεροι γεγόναμεν τῶν Φυλὴν[1] καταλαβόντων; ἀλλὰ γὰρ ἐπὶ τῶν 109
ἐλαττόνων καὶ τοῦ βίου τοῦ καθ' ἡμέραν ἐπιδείξειεν ἄν τις τοὺς πολλοὺς χαίροντας μὲν καὶ τῶν ἐδεσμάτων καὶ τῶν ἐπιτηδευμάτων τοῖς καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν βλάπτουσιν, ἐπίπονα δὲ καὶ χαλεπὰ νομίζοντας, ἀφ' ὧν ἀμφότερα ταῦτ' ἂν ὠφελοῖτο, καὶ καρτερικοὺς εἶναι δοκοῦντας τοὺς ἐν τούτοις ἐμμένοντας[2]. Οἵτινες 110
οὖν ἐν οἷς ἀεὶ ζῶσι καὶ περὶ ὧν αὐτοῖς μᾶλλον μέλει, τὰ χείρω φαίνονται προαιρούμενοι, τί θαυμαστόν, εἰ περὶ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν ἀγνοοῦσι[3] καὶ μάχονται πρὸς ἀλλήλους, περὶ ἧς μηδεὶς πώποτ' αὐτοῖς λογισμὸς εἰσῆλθεν;

1) Φυλὴν] Ἡ Φυλή, κώμη εἰς ἄκρον ὀχυρὰ τῆς Ἀττικῆς, ἀνήκουσα εἰς τὴν Οἰνηίδα φυλήν, κειμένη ἐπὶ τῶν συνόρων τῆς Βοιωτίας, ἀφ' ὅπου ὁ Θρασύβουλος ὁρμήσας ἐξέβαλεν ἐκ τῶν Ἀθηνῶν τοὺς τριάκοντα τυράννους· τανῦν Ἀργυρόκαστρον· Ξενοφ. Ἑλλ. 6'. 4. ὅθεν παροιμ. «μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβεν.» Ἀριστ. Ἀχ. 1023—καὶ Φυλάσιος ὁ κάτοικος.

2) Τοὺς ἐν τούτοις ἐμμένοντας] Τοὺς ἐκεῖνα πράττοντας, ἀφ' ὧν οἷόν τε καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ὠφελεῖσθαι, ἢ ὡς ἀλλαχοῦ (πρὸς Νικοκλ. § ιγ'.) εἴρηκε, τοὺς τῶν δεόντων τι ποιοῦντας.

3) Ἀγνοοῦσι] Ἐν ἀγνοίᾳ εἰσίν· ἀμεταβάτως ἐνταῦθα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

111 λϛ΄.) Ὁρᾶτε δὲ καὶ τὰς μοναρχίας[1] τὰς ἐν ταῖς πόλεσι καθισταμένας, ὅσους ἔχουσι τοὺς ἐπιθυμητὰς καὶ τοὺς ἑτοίμους ὄντας ὁτιοῦν πάσχειν ὥστε κατασχεῖν αὐτάς· αἷς τί τῶν δεινῶν ἢ τῶν χαλεπῶν οὐ πρόσεστιν; οὐκ εὐθὺς ἐπειδὰν λάβωσι τὰς δυναστείας, ἐν
112 τοσούτοις ἐμπεπλεγμένοι κακοῖς εἰσίν[2], ὥστ' ἀναγκάζεσθαι πολεμεῖν μὲν ἅπασι τοῖς πολίταις, μισεῖν δ' ὑφ' ὧν οὐδὲν κακὸν πεπόνθασιν, ἀπιστεῖν δὲ τοῖς φίλοις καὶ τοῖς ἑταίροις τοῖς αὑτῶν, παρακατατίθεσθαι δὲ τὴν τῶν σωμάτων σωτηρίαν μισθοφόροις ἀνθρώποις, οὓς οὐδὲ πώποτ' εἶδον, μηδὲν δ' ἧττον φοβεῖσθαι τοὺς φυλάττοντας ἢ τοὺς ἐπιβουλεύοντας, οὕτω δ' ὑπόπτως πρὸς ἅπαντας ἔχειν ὥστε μηδὲ τοῖς οἰκειοτάτοις θαρρεῖν πλησιά-
113 ζοντας; εἰκότως· συνίσασι γὰρ τοὺς πρὸ αὑτῶν τετυραννευκότας τοὺς μὲν ὑπὸ τῶν γονέων ἀνῃρημένους, τοὺς δ' ὑπὸ τῶν παίδων, τοὺς δ' ὑπ' ἀδελφῶν, τοὺς δ'

1) Τὰς μοναρχίας] τὰς τυραννίας.

2) Ἐν τοσούτοις ἐμπεπλεγμένοι κακοῖς εἰσίν] Κατὰ μέσην διάθεσιν τὸ ἐμπεπλεγμένοι, ἀπὸ μεταφορᾶς τῶν μηχαναῖς πλεκταῖς, οἷον δικτύοις, καὶ τοῖς τοιούτοις, ἐμπλεκομένων ζῴων, ὥστ' ἀποφυγεῖν μὴ δύνασθαι· ἢ δῆλον ἐξ Αἰσχύλου, (Προμ. δεσμ. 1806),

«Εἰς ἀπέραντον δίκτυον ἄτης
Ἐμπλεχθήσεσθ' ὑπ' ἀνοίας.»

Ἔσωσε δὲ καὶ ἡ συνήθεια τὴν μεταφοράν, ἐν τῷ οὐδετέρῳ, Ἐμπλέκω (ὅ, καὶ αὐτὸ ἐλλειπτικὸν ὂν τοῦ, ἐμαυτόν, χώραν ἐπέχει τοῦ μέσου, καθὰ καὶ παρὰ τοῖς ἀρχαίοις τὸ, Μεταβάλλω, καὶ ἄλλα πλεῖστα τῶν ῥημάτων)· οἷον, ἔμπλεξα μὲ κακὸν ἄνθρωπον, ὅπερ Αἰσχίνης (περὶ Παρασβ σ. 48) «Συμπέπλεγμαι...ἀνθρώπῳ γόητι καὶ πονηρῷ» Εἴρηκε, τὸν Δημοσθένην λέγων, οὐ πάνυ τι χρηστὸς ὢν αὐτός.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὑπὸ γυναικῶν, ἔτι δὲ τὸ γένος αὐτῶν ἐξ ἀνθρώπων ἠφανισμένον. Ἀλλ᾽ ὅμως ὑπὸ τοσαύτας τὸ πλῆθος συμφορὰς ἑκόντες[1] σφᾶς αὐτοὺς ὑποβάλλουσιν. Ὅπου δ᾽ οἱ πρωτεύοντες καὶ δόξας μεγίστας ἔχοντες τοσούτων κακῶν ἐρῶσι, τί δεῖ θαυμάζειν τοὺς ἄλλους, εἰ τοιούτων ἑτέρων ἐπιθυμοῦσιν; (λζ΄.) Οὐκ ἀγνοῶ δ᾽ ὅτι τὸν μὲν 114
περὶ τῶν τυράννων λόγον ἀποδέχεσθε, τὸν δὲ περὶ τῆς ἀρχῆς[2] δυσκόλως ἀκούετε· πεπόνθατε γὰρ πάντων αἴσχιστον καὶ ῥᾳθυμότατον· ἃ γὰρ ἐπὶ τῶν ἄλλων ὁρᾶτε, ταῦτ᾽ ἐφ᾽ ὑμῶν αὐτῶν ἀγνοεῖτε. Καίτοι τῶν φρονίμως διακειμένων οὐκ ἐλάχιστον[3] τοῦτο σημεῖόν ἐστιν, ἢν τὰς αὐτὰς πράξεις ἐπὶ πάντων τῶν ὁμοίων φαίνωνται γνωρίζοντες. Ὧν ὑμῖν οὐδὲν πώποτ᾽ ἐμέλησεν, ἀλλὰ τὰς 115
μὲν τυραννίδας ἡγεῖσθε χαλεπὰς εἶναι καὶ βλαβερὰς οὐ μόνον τοῖς ἄλλοις ἀλλὰ καὶ τοῖς ἔχουσιν αὐτάς, τὴν δ᾽ ἀρχὴν τὴν κατὰ θάλατταν μέγιστον τῶν ἀγαθῶν, τὴν οὐδὲν οὔτε τοῖς πάθεσιν οὔτε ταῖς πράξεσι τῶν μοναρχιῶν διαφέρουσαν. Καὶ τὰ μὲν Θηβαίων πράγματα νομίζετε πονηρῶς ἔχειν, ὅτι τοὺς περιοίκους[4] ἀδι-

1) Ἑκόντες] ἑκουσίως, θεληματικῶς.

2) Περὶ τῆς ἀρχῆς] τῆς κατὰ θάλατταν δηλαδή.

3) Ἐλάχιστον] μικρότατον, ὀλιγώτατον, καθόλου ἀσήμαντον.

4) Περιοίκους] περίοικος, ὁ, ἡ, Ὁλόγυρα τινός, εἰς τὰ πέριξ ἢ περί τινα οἰκῶν, κύκλῳ τινὸς κατοικῶν, περὶ τὴν οἰκίαν ἢ τὴν ἔπαυλιν κατοικῶν, γείτων, Ἡρδτ. ἔτι δὲ παθ., πέριξ κατῳκημένος. 6) παρὰ Ξενοφῶντι καὶ ἄλλοις λέγονται «Περίοικοι» οἱ ἐλεύθεροι κάτοικοι τῶν πόλεων τῆς Λακεδαιμονίας, πλὴν τῆς Σπάρτης, περὶ τῶν ὁποίων ἐφρόντιζον οἱ Σπαρτιᾶται, καὶ διέκρινον αὐτοὺς ἀπὸ τῶν Εἱλώτων, καὶ Νεοδαμωδῶν. Ἰσοκρ. Παναθην.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κοῦσιν, αὐτοὶ δ'οὐδὲν βέλτιον τοὺς συμμάχους διοικοῦντες ἢ 'κεῖνοι τὴν Βοιωτίαν, ἡγεῖσθε πάντα τὰ δέοντα πράττειν.

116 (λη'.) Ἣν οὖν ἐμοὶ πεισθῆτε, παυσάμενοι τοῦ παντάπασιν εἰκῇ βουλεύεσθαι προσέξετε τὸν νοῦν ὑμῖν αὐτοῖς καὶ τῇ πόλει καὶ φιλοσοφήσετε[1] καὶ σκέψεσθε, τί τὸ ποιῆσάν ἐστι τὼ πόλη τούτω, λέγω δὲ τὴν ἡμετέραν καὶ τὴν Λακεδαιμονίων, ἐκ ταπεινῶν μὲν πραγμάτων ἑκατέραν ὁρμηθεῖσαν ἄρξαι τῶν Ἑλλήνων, ἐπειδὴ δ' ἀνυπέρβλητον τὴν δύναμιν ἔλαβον, περὶ ἀνδραποδι-
117 σμοῦ κινδυνεῦσαι· καὶ διὰ τίνας αἰτίας Θετταλοὶ μὲν μεγίστους πλούτους παραλαβόντες καὶ χώραν ἀρίστην καὶ πλείστην ἔχοντες εἰς ἀπορίαν καθεστήκασι, Μεγαρεῖς δὲ μικρῶν αὐτοῖς καὶ φαύλων τῶν ἐξ ἀρχῆς ὑπαρξάντων, καὶ γῆν μὲν οὐκ ἔχοντες οὐδὲ λιμένας οὐδ' ἀργυρεῖα[2], πέτρας δὲ γεωργοῦντες, μεγίστους οἴκους τῶν

1) Φιλοσοφήσετε] Φιλοσοφέω. Κυρίως μὲν ἀγαπῶ δεξιότητα, ἐπιτηδειότητα, ἐμπειρίαν, τέχνην, σπουδάζω, καταγίνομαι, ἐπιμελοῦμαι νὰ τὴν ἀποκτήσω· ἔπειτα δὲ ἀγαπῶ τὴν παιδείαν, τὰς ἐπιστήμας, ἐπιμελοῦμαι νὰ γείνω πεπαιδευμένος, πολυμαθής, ἐπιστήμων, καταγίνομαι εἰς ἐπιστημονικὰ πράγματα. Ἡροδτ. 1, 30. Θουκυδ. 2, 40. ἐξαιρ. Καταγίνομαι περὶ τὴν διαλεκτικὴν ἐπιστημονικῶς, Ἰσοκρατ. ἐν Πανηγυρ. 1. «Τὰς ἄλλας τέχνας καὶ τὴν περὶ τοὺς λόγους φιλοσοφίαν.» 2) ἐντ. ἐν γένει, πράττω τι κατά τινας κανόνας=καὶ κατά τινα ἀξιώματα, κατά τινα μέθοδον· φροντίζω ἢ ἐρευνῶ περί τινος μετὰ σπουδῆς, ἐπιμελείας· ἐξετάζω, ἀναζητῶ τι διὰ μελέτης καὶ σκέψεως ἐξαιρ. διερευνῶ, ἐξετάζω, ἀκριβολογοῦμαι.

2) Ἀργυρεῖα] Ἀργύρου μέταλλα, ὡς ἡμεῖς δηλαδὴ οἱ Ἀθηναῖοι τὰ ἐν τῷ Λαυρείῳ ὄρη.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἑλλήνων κέκτηνται· κἀκείνων μὲν τὰς ἀκροπόλεις[1] ἄλ- 118
λοι τινὲς ἀεὶ κατέχουσιν, ὄντων αὐτοῖς πλέον τρισχι-
λίων ἱππέων καὶ πελταστῶν[2] ἀναριθμήτων, οὗτοι δὲ
μικρὰν δύναμιν ἔχοντες τὴν αὑτῶν ὅπως βούλονται
διοικοῦσιν· καὶ πρὸς τούτοις οἱ μὲν σφίσιν αὐτοῖς πολε-
μοῦσιν, οὗτοι δὲ μεταξὺ Πελοποννησίων καὶ Θηβαίων
καὶ τῆς ἡμετέρας πόλεως οἰκοῦντες εἰρήνην ἄγοντες
διατελοῦσιν. Ἢν γὰρ ταῦτα καὶ τὰ τοιαῦτα διεξίητε 119
πρὸς ὑμᾶς αὐτούς, εὑρήσετε τὴν μὲν ἀκολασίαν καὶ τὴν
ὕβριν τῶν κακῶν αἰτίαν γιγνομένην, τὴν δὲ σωφροσύ-
νην τῶν ἀγαθῶν· ἣν ὑμεῖς ἐπὶ μὲν τῶν ἰδιωτῶν ἐπαι-
νεῖτε, καὶ νομίζετε τοὺς ταύτῃ χρωμένους ἀσφαλέστατα
ζῆν καὶ βελτίστους εἶναι τῶν πολιτῶν, τὸ δὲ κοινὸν
ἡμῶν οὐκ οἴεσθε δεῖν τοιοῦτον παρασκευάζειν. Καίτοι 120
προσήκει τὰς ἀρετὰς ἀσκεῖν καὶ τὰς κακίας φεύγειν
πολὺ μᾶλλον ταῖς πόλεσιν ἢ τοῖς ἰδιώταις. Ἀνὴρ μὲν
γὰρ ἀσεβὴς καὶ πονηρὸς τυχὸν ἂν φθάσειε τελευτήσας

1) Ἀκροπόλεις] ὅρα σελ. 49 σημ. 2.

2) Πελταστῶν] Πελταστής· μαχητής, στρατιώτης πέλτην ὡς ὅπλον ἔχων, φέρων· ἐν γένει ἐλαφρῶς ἁρματωμένος στρατιώτης, Livius λα'. 36. Cetratos, quos peltastas vocant. Πέλτη· μικρὰ καὶ ἐλαφρά τις ἀσπὶς ἄνευ ἴτυος (λωρίου), τῶν Θρᾳκῶν, ἡ ἀσπὶς ἴτυν οὐκ ἔχουσα, κατὰ τὸν Ἡρόδοτ. ζ'. 89 «Ἀσπίδας δὲ ἴτυς οὐκ ἐξούσας εἶχον καὶ ἀκόντια.» Τὴν πέλτην, τὴν ὁποίαν εἰσήγαγον κατὰ πρῶτον οἱ Θρᾷκες, ἐδανείσθησαν μετέπειτα καὶ οἱ ψιλῶς ὡπλισμένοι στρατιῶται τῶν Ἑλλήνων, ὅθεν καὶ πελτασταὶ ὠνομάσθησαν· εἰσήγαγε δὲ αὐτὴν παρὰ τοῖς Ἕλλησιν ὁ Ἰφικράτης, δι' ὃ καὶ πρὶν αὐτοῦ (400—350) δὲν γίνεται μνεία παρ' οὐδενὶ συγγραφεῖ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πρὶν δοῦναι δίκην τῶν ἡμαρτημένων· αἱ δὲ πόλεις διὰ τὴν ἀθανασίαν ὑπομένουσι καὶ τὰς παρὰ τῶν ἀνθρώπων καὶ τὰς παρὰ τῶν θεῶν τιμωρίας.

121 (λθ΄.) Ὧν[1] ἐνθυμουμένους χρὴ μὴ προσέχειν τὸν νοῦν τοῖς ἐν τῷ παρόντι μὲν χαριζομένοις, τοῦ δὲ μέλλοντος χρόνου μηδεμίαν ἐπιμέλειαν ποιουμένοις, μηδὲ τοῖς φιλεῖν μὲν τὸν δῆμον φάσκουσιν[2], ὅλην δὲ τὴν πόλιν λυμαινομένοις· ὡς καὶ πρότερον, ἐπειδὴ παρέλαβον οἱ τοιοῦτοι τὴν ἐπὶ τοῦ βήματος δυναστείαν, εἰς τοσαύτην ἄνοιαν προήγαγον τὴν πόλιν ὥστε παθεῖν αὐτήν, οἷάπερ ὀλίγῳ πρότερον ὑμῖν διηγησάμην.
122 Ὃ καὶ πάντων μάλιστ' ἂν τις θαυμάσειεν, ὅτι προχειρίζεσθε δημαγωγοὺς[3] οὐ τοὺς τὴν αὐτὴν γνώμην ἔχοντας τοῖς μεγάλην τὴν πόλιν ποιήσασιν ἀλλὰ τοὺς ὅμοια καὶ λέγοντας καὶ πράττοντας τοῖς ἀπολέσασιν αὐτήν, καὶ ταῦτ' εἰδότες οὐ μόνον ἐν τῷ ποιῆσαι τὴν πόλιν εὐδαίμονα τοὺς
123 χρηστοὺς τῶν πονηρῶν διαφέροντας, ἀλλὰ καὶ τὴν δη-

1) Ὧν]=τούτων δέ,

2) Τοῖς φιλεῖν μὲν τὸν δῆμον φάσκουσιν] τοὺς δημαγωγοὺς καὶ ῥήτορας λέγει· οὓς καὶ ὁ χαριέστατος Ἀριστοφάνης σκώπτων, παράγει τὸν κατάπτυστον Κλέωνα, τυπτόμενον ὑπ' ἀντιδημαγωγοῦ, καὶ πρὸς τὸν δῆμον ἐρωτῶντα διὰ τί τύπτεται, ἀποκρινόμενον (Ἱππ. 731), «Ὅτι ἡ φιλῶ σ', ὦ Δῆμ', ἐραστής τ'-εἰμὶ σός.» Καὶ Δημοσθένης δὲ (κατὰ Ἀριστογείτ. Α, σελ. 789) τοιαῦτά τινα παράγει λέγοντα τῷ δήμῳ τῶν Ἀθηναίων τὸν οὐδὲν ἧττον Κλέωνος βδελυρὸν Ἀριστογείτονα, «Ἐγὼ μόνος ἔτι λοιπὸς ὑμῖν· πάντες οὗτοι συνεστᾶσι· προδέδοσθε· ἡ παρ' ἐμοῦ μόνον εὔνοια λοιπή.»

3) Προχειρίζεσθε δημαγωγούς] ἐκλέγετε δημαγωγούς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μοκρατίαν ἐπὶ μὲν ἐκείνων ἐν πολλοῖς ἔτεσιν οὔτε κινηθεῖσαν οὔτε μεταστᾶσαν, ἐπὶ δὲ τούτων ἐν ὀλίγῳ χρόνῳ δὶς ἤδη καταλυθεῖσαν, καὶ τὰς φυγὰς[1] καὶ τὰς ὑπὸ τῶν τυράννων[2] καὶ τὰς ἐπὶ τῶν τριάκοντα γενομένας οὐ διὰ τοὺς συκοφάντας[3] κατελθούσας ἀλλὰ διὰ τοὺς μισοῦντας τοὺς τοιούτους καὶ μεγίστην ἐπ' ἀρετῇ
δόξαν ἔχοντας. (μ΄.) Ἀλλ' ὅμως τηλικούτων ἡμῖν ὑπο- 124
μνημάτων καταλελειμμένων, ὡς ἐφ' ἑκατέρων αὐτῶν ἡ πόλις ἔπραττεν, οὕτω χαίρομεν ταῖς τῶν ῥητόρων πονηρίαις, ὥσθ' ὁρῶντες διὰ τὸν πόλεμον καὶ τὰς ταραχάς, ἃς οὗτοι πεποιήκασι, τῶν μὲν ἄλλων πολιτῶν πολλοὺς ἐκ τῶν πατρῴων ἐκπεπτωκότας[4], τούτους δ' ἐκ πενήτων πλουσίους γεγενημένους, οὐκ ἀγανακτοῦ-
μεν, οὐδὲ φθονοῦμεν[5] ταῖς εὐπραγίαις αὐτῶν, ἀλλ' ὑπο- 125

1) Τὰς φυγὰς] Τοὺς φυγάδας ἀφῃρημένον ἀντὶ συγκεκριμένου.

2) Ὑπὸ τῶν τυράννων] Κατ' ἐξοχὴν ὧδε τοὺς Πεισιστρατίδας λέγει.

3) Συκοφάντας] Συκοφάντης (σῦκον, φαίνω). Κυρίως ὁ τὰ σῦκα φαίνων, ὅστις δείχνει, φανερόνει τὰ σῦκα· ἐξαιρτ. δέ, ψευδοκατήγορος, κακοπράγμων (μαντατούρης), διαβολεύς, φιλεγκλήμων, ὠτακουστὴς καὶ προσαγωγεύς, ὁ ἐπηρεάζων. Συκοφαντία· ἡ ψευδὴς κατηγορία, καὶ συκοφαντεῖν, τὸ ψευδῶς κατηγορεῖν.

4) Ἐκ τῶν πατρῴων ἐκπεπτωκότας] Τὴν πατρῴαν οὐσίαν ἀποβαλόντας καὶ πένητας γεγονότας. Ἐχρήσατο δὲ πρῶτος Ἡρόδοτος (Γ' 14) τῇ λέξει «Ἐκ πολλῶν τε καὶ εὐδαιμόνων ἐκπεσὼν εἰς πτωχηΐην ἀπῖκται.» Σῴζεσθαι δὲ τὴν τοιαύτην χρῆσιν τοῦ ῥήματος καὶ ἐν τῇ συνηθείᾳ· ἐξέπεσε = πένης ἐκ πλουσίου ἐγένετο, καὶ ξεπεσμένον = τὸν ἀποβαλόντα τὸν πλοῦτον.

5) Φθονοῦμεν] Καταχρηστικῶς ἐνταῦθα, ἀντὶ τοῦ, νεμεσῶμεν. Κυρίως γὰρ τὸ μὲν φθονεῖν λυπεῖσθαί ἐστιν ἐπὶ τοῖς



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μένομεν τὴν μὲν πόλιν διαβολὰς ἔχουσαν, ὡς λυμαί-
νεται καὶ δασμολογεῖ[1] τοὺς Ἕλληνας, τούτους δὲ τὰς
ἐπικαρπίας[2] λαμβάνοντας, καὶ τὸν μὲν δῆμον, ὅν φα-
σιν οὗτοι δεῖν τῶν ἄλλων ἄρχειν, χεῖρον πράττοντα
τῶν ταῖς ὀλιγαρχίαις δουλευόντων, οἷς δ' οὐδὲν ὑπῆρ-
χεν ἀγαθὸν, τούτους δὲ διὰ τὴν ἄνοιαν τὴν ἡμετέραν
126 ἐκ ταπεινῶν εὐδαίμονας[3] γεγενημένους. Καίτοι Περι-
κλῆς ὁ πρὸ τῶν τοιούτων δημαγωγὸς καταστὰς, παρα-
λαβὼν τὴν πόλιν χεῖρον μὲν φρονοῦσαν ἢ πρὶν κατα-
σχεῖν τὴν ἀρχὴν[4], ἔτι δ' ἀνεκτῶς[5] πολιτευομένην, οὐκ
ἐπὶ τὸν ἴδιον χρηματισμὸν ὥρμησεν, ἀλλὰ τὸν μὲν οἶ-
κον ἐλάττω τὸν αὑτοῦ κατέλιπεν ἢ παρὰ τοῦ πατρὸς
παρέλαβεν, εἰς δὲ τὴν ἀκρόπολιν ἀνήνεγκεν ὀκτακισχί-
127 λια τάλαντα[6] χωρὶς τῶν ἱερῶν. Οὗτοι δὲ τοσοῦτον
ἐκείνου διενηνόχασιν, ὥστε λέγειν μὲν τολμῶσιν, ὡς
διὰ τὴν τῶν κοινῶν ἐπιμέλειαν οὐ δύνανται τοῖς αὑ-
τῶν ἰδίοις προσέχειν τὸν νοῦν, φαίνεται δὲ τὰ μὲν ἀμε-

ἀξίως εὐπραγοῦσι· τὸ δὲ νεμεσᾶν, ἐπὶ τοῖς ἀναξίως.

1) Ὡς λυμαίνεται καὶ δασμολογεῖ] Τούτων τὴν ἐξήγησιν ζήτει ἐν ταῖς Ἀριστοφάνους Σφηξὶ (655—724).

2) Ἐπικαρπίας] Τὰς ἀπὸ τοῦ φόρου ὠφελείας καὶ τὰ κέρδη, ἅπερ Ἀριστοφάνης φόρου γόνον, ὠνόμασε, καὶ κηφῆνας, τοὺς κατεσθίοντας αὐτῶν δημαγωγοὺς (Σφῆκ. 1114).

3) Ἐκ ταπεινῶν εὐδαίμονας] Ἐκ πενήτων πλουσίους.

4) Τὴν ἀρχὴν] Τὴν κατὰ θάλατταν.

5) Ἀνεκτῶς] Ἐπιρρ. ὑπομονητικῶς, ὑποφερτά. Ξεν. Ἑλλ. Ζ'.3. «ἀνεκτῶς ἔχειν» ἀντὶ τοῦ ὑποφέρεται.

6) Ὀκτακισχίλια τάλαντα] Μύρια εἶπεν ἀνωτέρω. Ὅρ. § κγ'. 69. σελ. 39 σημ. 1.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λούμενα τοσαύτην εἰληφότα τὴν ἐπίδοσιν, ὅσην οὐδ᾽ἂν εὔξασθαι τοῖς θεοῖς πρότερον ἠξίωσαν, τὸ δὲ πλῆθος ἡμῶν, οὐ κήδεσθαί φασιν, οὕτω διακείμενον ὥστε μηδένα τῶν πολιτῶν ἡδέως ζῆν μηδὲ ῥαθύμως ἀλλ᾽ ὀδυρμῶν μεστὴν εἶναι τὴν πόλιν. Οἱ μὲν γὰρ τὰς πενίας 128
καὶ τὰς ἐνδείας ἀναγκάζονται διεξιέναι καὶ θρηνεῖν πρὸς σφᾶς αὐτοὺς[1], οἱ δὲ τὸ πλῆθος τῶν προσταγμάτων καὶ τῶν λειτουργιῶν καὶ τὰ κακὰ τὰ περὶ τὰς συμμορίας καὶ τὰς ἀντιδόσεις· ἃ τοιαύτας ἐμποιεῖ λύπας ὥστ᾽ ἄλγιον ζῆν τοὺς τὰς οὐσίας κεκτημένους ἢ τοὺς συνεχῶς[2] πενομένους. (μα΄.) Θαυμάζω δ᾽ εἰ μὴ δύνασθε συνιδεῖν, 129
ὅτι γένος οὐδέν ἐστι κακονούστερον τῷ πλήθει πονηρῶν ῥητόρων καὶ δημαγωγῶν· πρὸς γὰρ τοῖς ἄλλοις κακοῖς καὶ τῶν κατὰ τὴν ἡμέραν ἑκάστην ἀναγκαίων οὗτοι μάλιστα βούλονται σπανίζειν ὑμᾶς[3], ὁρῶντες τοὺς μὲν ἐκ τῶν ἰδίων δυναμένους τὰ σφέτερ᾽ αὐτῶν διοικεῖν τῆς πόλεως ὄντας καὶ τῶν τὰ βέλτιστα λεγόντων, τοὺς δ᾽ 130

1) Διεξιέναι καὶ θρηνεῖν πρὸς σφᾶς αὐτοὺς] Διηγεῖσθαι καὶ ὀδύρεσθαι πρὸς ἀλλήλους· τοῦτο γὰρ ἐνταῦθα δύναται τό, σφᾶς αὐτοὺς πρὸς ἀμφότερα ἀναφερόμενον, τό τε διεξιέναι, καὶ τὸ θρηνεῖν.

2) Συνεχῶς] Ἐπιρ. ἐπὶ χρόνου λεγόμενον, ἀντὶ τοῦ, ἐνδελεχῶς, πάντοτε, ἀδιαλείπτως, διαρκῶς, ἀδιακόπως, ἀκαταπαύστως, Θουκυδίδ. ε΄. «Ταῦτα δὲ τὰ δέκα ἔτη ὁ πρῶτος πόλεμος συνεχῶς γενόμενος,» ἀδιαλείπτως χωρὶς νὰ παύσῃ ἢ νὰ διακοπῇ ἐν τῷ μεταξύ· ὡς τὸ τῆς συνηθείας «Δέκα χρόνους εἰς τὴν ἀράδα.»

3) Βούλονται σπανίζειν ὑμᾶς] Τοῦτο καὶ ὁ Ἀριστοφάνης παράγει τινὰ λέγοντα πρὸς τὸν δῆμον, τὴν ἀβελτερίαν σκώπτων τῶν Ἀθηναίων (Σφ. 700).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀπὸ τῶν δικαστηρίων ζῶντας καὶ τῶν ἐκκλησιῶν καὶ
τῶν ἐντεῦθεν λημμάτων ὑφ' αὐτοῖς διὰ τὴν ἔνδειαν[1]
ἠναγκασμένους εἶναι, καὶ πολλὴν χάριν ἔχοντας ταῖς
εἰσαγγελίαις[2] καὶ ταῖς γραφαῖς καὶ ταῖς ἄλλαις συκο-
131 φαντίαις ταῖς δι' αὐτῶν γιγνομέναις. Ἐν οὖν ταῖς ἀπο-
ρίαις, ἐν αἷς δυναστεύουσιν, ἐν ταύταις ἥδιστ' ἂν ἴδοιεν
ἅπαντας ὄντας τοὺς πολίτας. Τεκμήριον δὲ μέγιστον·
οὐ γὰρ τοῦτο σκοποῦσιν, ἐξ οὗ τρόπου τοῖς δεομένοις
βίον ἐκποριοῦσιν[3], ἀλλ' ὅπως τοὺς ἔχειν τι δοκοῦντας
132 τοῖς ἀπόροις ἐξισώσουσιν. (μβ'.) Τίς οὖν ἀπαλλαγὴ
γένοιτ' ἂν τῶν κακῶν τῶν παρόντων; διείλεγμαι μὲν
τὰ πλεῖστα περὶ αὐτῶν τούτων, οὐκ ἐφεξῆς, ἀλλ' ὡς
ἕκαστον τῷ καιρῷ συνέπιπτεν· μᾶλλον δ' ἂν ὑμῖν ἐγ-
γένοιτο μνημονεύειν, εἰ συναγαγὼν τὰ μάλιστα κατε-
πείγοντα πάλιν ἐπανελθεῖν[4] αὐτὰ πειραθείην.
133 (μγ'.) Ἔστι δ' ἐξ ὧν ἂν ἐπανορθώσαιμεν τὰ τῆς
πόλεως καὶ βελτίω ποιήσαιμεν, πρῶτον μὲν ἣν συμ-

1) Ὑφ' αὐτοῖς διὰ τὴν ἔνδειαν κ.τ.λ.] Ὑπὸ τοῖς ῥήτορσι καὶ δημαγωγοῖς· ὅσῳ γὰρ πλείω οὗτοι ἐσυκοφάντουν, τοσούτῳ πλείους ἐγίνοντο αἱ δίκαι, ἐξ ὧν ἔζων οἱ τοῦ δήμου πενόμενοι, περὶ ὧν καὶ ἀλλαχοῦ (Ἀρεοπαγ. § κ'.) ἔφη, ὅτι ἐκληροῦντο πρὸ τῶν δικαστηρίων. Διὸ καὶ ὁ χαριέστατος Ἀριστοφάνης κυνιδίοις παραβάλλει τὸν δῆμον, καὶ τιθασευταῖς τοὺς δημαγωγούς τε καὶ ῥήτορας (Σφηκ. 703).

2) Εἰσαγγελίαις] Ἤγουν κατηγορίαις.

3) Οὐ γὰρ τοῦτο σκοποῦσιν...... τὸν βίον ἐκποριοῦσιν] Ἐπί, ὥς φησιν ὁ Ἀριστοφάνης (Σφηκ. 706) «Εἰ γὰρ ἐβούλοντο βίον πορίσαι τῷ δήμῳ, ῥᾴδιον ἦν ἄν.

4) Ἐπανελθεῖν] Ἐκ δευτέρου διηγήσασθαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βούλους ποιώμεθα τοιούτους περὶ τῶν κοινῶν, οἵους περ
ἂν περὶ τῶν ἰδίων ἡμῖν εἶναι βουληθεῖμεν, καὶ παυ-
σώμεθα δημοτικοὺς μὲν νομίζοντες τοὺς συκοφάντας,
ὀλιγαρχικοὺς δὲ τοὺς καλούς τε κἀγαθοὺς τῶν ἀνδρῶν,
γνόντες, ὅτι φύσει μὲν οὐδεὶς οὐδέτερον τούτων[1] ἐστὶν,
ἐν ᾗ δ᾽ ἂν ἕκαστοι τιμῶνται, ταύτην βούλονται καθε-
στάναι τὴν πολιτείαν. (μδ΄.) Δεύτερον δ᾽ ἢν ἐθελήσω- 134
μεν χρῆσθαι τοῖς συμμάχοις ὁμοίως ὥσπερ τοῖς φίλοις
καὶ μὴ λόγῳ μὲν αὐτονόμους ἀφιῶμεν, ἔργῳ δὲ τοῖς
στρατηγοῖς[2] αὐτοὺς ὅ,τι ἂν βούλωνται ποιεῖν ἐκδιδῶ-
μεν, μηδὲ δεσποτικῶς ἀλλὰ συμμαχικῶς αὐτῶν ἐπι-
στατῶμεν, ἐκεῖνο καταμαθόντες, ὅτι μιᾶς μὲν ἑκάστης
τῶν πόλεων κρείττους ἐσμὲν, ἁπασῶν δ᾽ ἥττους. (με΄.)
Τρίτον ἢν μηδὲν περὶ πλείονος ἡγῆσθε μετά γε τὴν 135
περὶ τοὺς θεοὺς εὐσέβειαν τοῦ παρὰ τοῖς Ἕλλησιν εὐ-

1) Φύσει μὲν οὐδεὶς οὐδέτερον τούτων κλπ.] Οὐδείς ἐστιν ἐκ φύσεως οὔτε δημοτικὸς, οὔτ᾽ ὀλιγαρχικὸς, τουτέστιν, οὔτε δημοκρατίας, οὔτ᾽ ὀλιγαρχίας ἐραστὴς, ἀλλ᾽ ἐν ὁποτέρᾳ τῶν πολιτειῶν τούτων ἕκαστος τιμᾶται, ταύτην συνεστάναι καὶ σῴζεσθαι βούλεται. Ὅτι δ᾽ οὗτός ἐστιν ὁ νοῦς τοῦ χωρίου, δῆλον ἐκ τοῦ Λυσίου, ἐξ οὗ προδήλως παρείληφεν Ἰσοκράτης τὴν γνώμην, μικρὸν μεταποιήσας τὰς λέξεις· ταῦτα γὰρ ἐκεῖνός φησι (Δημ. καταλ. ἀπολογ. σ. 114), «Πρῶτον μὲν οὖν ἐνθυμηθῆναι χρή, ὅτι οὐδείς ἐστιν ἀνθρώπων φύσει οὔτε ὀλιγαρχικὸς, οὔτε δημοκρατικὸς, ἀλλ᾽ ἥτις ἂν ἑκάστῳ πολιτεία μὴ συμφέρῃ ταύτην προθυμεῖται μεθιστάναι.»

2) Τοῖς στρατηγοῖς] Οὗτοι γὰρ ἦσαν οἱ μάλιστα τοὺς συμμάχους δασμολογοῦντες, καὶ πάντα τρόπον λυμαινόμενοι. Παρ. Ἀριστοφ. Σφῆκ. 669.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δοκιμεῖν· τοῖς γὰρ οὕτω διακειμένοις ἑκόντες καὶ τὰς δυναστείας καὶ τὰς ἡγεμονίας διδόασιν.

136 (μϛ'.) Ἢν οὖν ἐμμείνητε[1] τοῖς εἰρημένοις, καὶ πρὸς τούτοις ὑμᾶς αὐτοὺς παράσχητε πολεμικοὺς μὲν ὄντας ταῖς μελέταις καὶ ταῖς παρασκευαῖς, εἰρηνικοὺς δὲ τῷ μηδὲν παρὰ τὸ δίκαιον πράττειν, οὐ μόνον εὐδαίμονα ποιήσετε ταύτην τὴν πόλιν ἀλλὰ καὶ τοὺς Ἕλληνας
137 ἅπαντας. Οὐδὲ γὰρ ἄλλη τῶν πόλεων οὐδεμία τολμήσει περὶ αὐτοὺς ἐξαμαρτάνειν, ἀλλ' ὀκνήσουσι[2] καὶ πολλὴν ἡσυχίαν ἄξουσιν, ὅταν εἰδῶσιν ἐφεδρεύουσαν[3] τὴν δύναμιν τὴν ἡμετέραν καὶ παρεσκευασμένην τοῖς ἀδικουμένοις βοηθεῖν. Οὐ μὴν ἀλλ' ὁπότερον ἂν ποιήσωσιν, τό γ' ἡμέτερον καλῶς ἕξει καὶ συμφερόντως·
138 Ἤν τε γὰρ δόξῃ τῶν πόλεων ταῖς προεχούσαις ἀπέχεσθαι τῶν ἀδικημάτων, ἡμεῖς τούτων τῶν ἀγαθῶν τὴν αἰτίαν ἕξομεν· ἤν τ' ἐπιχειρῶσιν ἀδικεῖν, ἐφ' ἡμᾶς ἅπαντες οἱ δεδιότες καὶ κακῶς πάσχοντες καταφεύξον-

1) Ἐμμείνητε] Ἐμμένω μελ. ενῶ (μένω, ἀνμλ.) Μένω, διατρίβω, προσμένω, καρτερῶ εἰς ἢ διὰ τίποτε· μένω στερεὸς, σταθερός, ἐπίμονος, πιστὸς εἴς τι· μετὰ δοτικ. Θουκυδ. «ἐμμένειν ταῖς συνθήκαις.....τοῖς ὅρκοις.»

2) Ὀκνήσουσιν] = οὐ τολμήσουσι.

3) Ἐφεδρεύουσαν] τὸ ἐφεδρεύουσαν σημαίνει ἐπικαθεζομένην καὶ ἐπιτηροῦσαν. Ἡ μεταφορὰ ἀπὸ τοῦ ἐν τοῖς ἀγῶσι γινομένου, ἐν οἷς δυοῖν ἀθλητῶν παλαιόντων, ἐπεκάθητο ὁ τρίτος ἔξωθεν, παρεσκευασμένος εἰς τὸ ἀγωνίσασθαι τῷ νικήσαντι· καὶ ἐκαλεῖτο ὁ τοιοῦτος, ἔφεδρος· καὶ σχολ. Πινδ. Νεμ. 4,155 «ἔφεδρος οὖν τοῖς ἐχθροῖς, ὁ ἐπικείμενος τοῖς ἐχθροῖς, ὁ ἐφεδρεύων καὶ ἐπιτηρῶν. Ἀθλητικὸν δὲ τὸ νόημα.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ται, πολλὰς ἱκετείας[1] καὶ δεήσεις ποιούμενοι, καὶ διδόντες οὐ μόνον τὴν ἡγεμονίαν ἀλλὰ καὶ σφᾶς αὐτούς. Ὥστ᾽ οὐκ ἀπορήσομεν, μεθ᾽ ὧν κωλύσομεν τοὺς ἐξα- 139
μαρτάνοντας, ἀλλὰ πολλοὺς ἕξομεν τοὺς ἑτοίμως καὶ προθύμως συναγωνιζομένους ἡμῖν. Ποία γὰρ πόλις ἢ τίς ἀνθρώπων οὐκ ἐπιθυμήσει μετασχεῖν τῆς φιλίας καὶ τῆς συμμαχίας τῆς ἡμετέρας, ὅταν ὁρῶσι τοὺς αὐτοὺς ἀμφότερα, καὶ δικαιοτάτους ὄντας καὶ μεγίστην δύναμιν κεκτημένους, καὶ τοὺς μὲν ἄλλους σῴζειν καὶ βουλομένους καὶ δυναμένους, αὐτοὺς δὲ μηδεμιᾶς βοηθείας δεομένους; πόσην δὲ χρὴ προσδοκᾶν ἐπίδοσιν τὰ τῆς 140
πόλεως λήψεσθαι, τοιαύτης εὐνοίας ἡμῖν παρὰ τῶν ἄλλων ὑπαρξάσης; πόσον δὲ πλοῦτον εἰς τὴν πόλιν εἰσρυήσεσθαι, δι᾽ ἡμῶν ἁπάσης τῆς Ἑλλάδος σῳζομένης; τίνας δ᾽ οὐκ ἐπαινέσεσθαι τοὺς τοσούτων καὶ τηλικούτων ἀγαθῶν αἰτίους γεγενημένους; ἀλλὰ γὰρ οὐ δύ- 141
ναμαι διὰ τὴν ἡλικίαν[2] ἅπαντα τῷ λόγῳ περιλαβεῖν, ἃ τυγχάνω τῇ διανοίᾳ καθορῶν, πλὴν ὅτι καλόν ἐστιν ἐν ταῖς τῶν ἄλλων ἀδικίαις καὶ μανίαις πρώτους εὖ φρονήσαντας προστῆναι τῆς τῶν Ἑλλήνων ἐλευθερίας, καὶ σωτῆρας ἀλλὰ μὴ λυμεῶνας[3] αὐτῶν κληθῆναι,

1) Ἱκετείας] Ἱκετεία ἀρχαιότ. τύπος, ἀντὶ ἱκεσία (ἱκέτης)· ἡ δέησις, παράκλησις, παρακάλεσις ἱκέτου ὅστις ζητεῖ βοήθειαν, διαφέντευσιν, προστασίαν, σκέπην κατά τινος καταδρεκτοῦ του· νὰ παρακαλῇ τίς τινα γονυπετῶς.

2) Διὰ τὴν ἡλικίαν] Ὁ Ἰσοκράτης ἦτο τότε 82 ἐτῶν, κατ᾽ ἄλλους δὲ 79.

3) Λυμεῶνας] Λυμεών, ῶνος (λύμη). Φθορεύς, ἀφανιστής, βλαπτικός.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ περιβλέπτους ἐπ' ἀρετῇ γενομένους τὴν δόξαν τὴν τῶν προγόνων ἀναλαβεῖν.

142 (μζ'.) Κεφάλαιον δὲ τούτων ἐκεῖν' ἔχω λέγειν, εἰς ὃ πάντα τὰ προειρημένα συντείνει καὶ πρὸς ὃ χρὴ βλέποντας τὰς πράξεις τὰς τῆς πόλεως δοκιμάζειν. Δεῖ γὰρ ἡμᾶς, εἴπερ βουλόμεθα διαλύσασθαι μὲν τὰς διαβολάς, ἃς ἔχομεν ἐν τῷ παρόντι, παύσασθαι δὲ τῶν πολέμων τῶν μάτην γιγνομένων, κτήσασθαι δὲ τῇ πόλει τὴν ἡγεμονίαν εἰς τὸν ἅπαντα χρόνον, μισῆσαι μὲν ἁπάσας τὰς τυραννικὰς ἀρχὰς καὶ τὰς δυναστείας, ἀναλογισαμένους τὰς συμφορὰς τὰς ἐξ αὐτῶν γεγενημένας, ζηλῶσαι δὲ καὶ μιμήσασθαι τὰς ἐν Λακεδαίμονι βα-
143 σιλείας. Ἐκείνοις[1] γὰρ ἀδικεῖν μὲν ἧττον ἔξεστιν ἢ τοῖς ἰδιώταις, τοσούτῳ δὲ μακαριστότεροι[2] τυγχάνουσιν ὄντες τῶν βίᾳ τὰς τυραννίδας κατεχόντων, ὅσον οἱ μὲν τοὺς τοιούτους ἀποκτείναντες τὰς μεγίστας δωρεὰς παρὰ τῶν συμπολιτευομένων λαμβάνουσιν, ὑπὲρ ἐκείνων δ' οἱ μὴ τολμῶντες ἐν ταῖς μάχαις ἀποθνήσκειν ἀτιμότεροι γίγνονται τῶν τὰς τάξεις λειπόντων καὶ τὰς ἀσπί-
144 δας ἀποβαλλόντων. Ἄξιον οὖν ὀρέγεσθαι[3] τῆς τοιαύτης

1) Ἐκείνοις] Τουτέστι, τοῖς Λακεδαιμονίων βασιλεῦσι. Προσυπακούεται δὲ ἐκ τοῦ προηγησαμένου, τὴν Λακεδαιμονίων βασιλείαν.

2) Μακαριστότεροι] Μακαριστὸς, καὶ ἐπιρρ. μακαριστῶς, (μακαρίζω). Μακαρισμοῦ ἄξιος, ἢ καλοτυχισμένος, μακαρισμένον τὸν ὁποῖον ἐμακάρισαν Ἡροδ· ὑπερθετ. μακαριστότατος, Ξεν. Ἀπομν. β'. «τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι.»

3) Ὀρέγεσθαι] Ὀρέγομαι μετὰ τῆς γενικ. ἐκτείνομαι, ἐξαπλόνομαι πρός τι, τουτέστιν ἐκ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἡγεμονίας. Ἔνεστι[1] δ' ἐν τοῖς πράγμασιν ἡμῶν τυχεῖν παρὰ τῶν Ἑλλήνων τῆς τιμῆς ταύτης, ἥνπερ ἐκεῖνοι παρὰ τῶν πολιτῶν ἔχουσιν, ἢν ὑπολάβωσι τὴν δύναμιν τὴν ἡμετέραν μὴ δουλείας ἀλλὰ σωτηρίας αἰτίαν αὑτοῖς ἔσεσθαι.

(μη΄.) Πολλῶν δὲ καὶ καλῶν λόγων ἐνόντων περὶ 145
τὴν ὑπόθεσιν ταύτην, ἐμοὶ μὲν ἀμφότερα συμβουλεύει παύσασθαι λέγοντι, καὶ τὸ μῆκος τοῦ λόγου καὶ τὸ πλῆθος τῶν ἐτῶν τῶν ἐμῶν· τοῖς δὲ νεωτέροις καὶ μᾶλλον ἀκμάζουσιν ἐγὼ παραινῶ καὶ παρακελεύομαι τοιαῦτα καὶ λέγειν καὶ γράφειν, ἐξ ὧν τὰς μεγίστας τῶν πόλεων καὶ τὰς εἰθισμένας ταῖς ἄλλαις κακὰ παρέχειν προτρέψουσιν ἐπ' ἀρετὴν καὶ δικαιοσύνην, ὡς ἐν ταῖς τῆς Ἑλλάδος εὐπραγίαις[2] συμβαίνει καὶ τὰ τῶν φιλοσόφων πράγματα πολὺ βελτίω γίγνεσθαι.

τείνω τὴν χεῖρά μου πρός τι, σκοπῶ, ἐπιθυμῶ τι· (ἐκ τοῦ ὀρέγω παραγ. ὄργυια, ἴσως δὲ καὶ ὀργή, ὀργάω, κ.τ.λ.)

1) Ἔνεστι] ἀπρσπ. Εἶναι συγχωρημένον, εἶναι δυνατόν· ἐνδεχόμενον, ἠμπορεῖ τις νὰ — μετὰ δοτ. τοῦ προσπ. καὶ μετὰ Ἀπρμφ. Λουκιαν. «ἔνεστί σοι πρίασθαι·» πρβλ. ἔξεστι, ἐγγίγνεται.

2) Εὐπραγίαις] Εὐπραγία· εὐτυχία εἰς τὰς πράξεις καὶ ἐπιχειρήματα, εὐδαιμονία, εὐτυχία· πρόοδοι, προκοπὴ εἰς τὸ καλόν. — 2) Καλή, εὐγενική, γενναία πρᾶξις.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΕΥΑΓΟΡΑΣ

(α΄.) Ὁρῶν, ὦ Νικόκλεις, τιμῶντά σε τὸν τάφον[1]
τοῦ πατρὸς οὐ μόνον τῷ πλήθει καὶ τῷ κάλλει τῶν
ἐπιφερομένων[2] ἀλλὰ καὶ χοροῖς καὶ μουσικῇ καὶ γυ-
μνικοῖς ἀγῶσιν, ἔτι δὲ πρὸς τούτοις ἵππων τε καὶ τριή-
ρων ἁμίλλαις[3], καὶ λείποντ' οὐδεμίαν τῶν τοιούτων
2 ὑπερβολὴν[4], ἡγησάμην Εὐαγόραν, εἴ τις ἐστὶν αἴσθησις
τοῖς τετελευτηκόσι περὶ τῶν ἐνθάδε γιγνομένων, εὐμε-
νῶς μὲν ἀποδέχεσθαι καὶ ταῦτα, καὶ χαίρειν ὁρῶντα
τήν τε περὶ αὑτὸν ἐπιμέλειαν καὶ τὴν σὴν μεγαλοπρέ-
πειαν, πολὺ δ' ἂν ἔτι πλείω χάριν ἔχειν ἢ τοῖς ἄλλοις
ἅπασιν, εἴ τις δυνηθείη περὶ τῶν ἐπιτηδευμάτων αὐ-
3 τοῦ καὶ τῶν κινδύνων ἀξίως διελθεῖν τῶν ἐκείνῳ πε-
πραγμένων[5]· εὑρήσομεν γὰρ τοὺς φιλοτίμους καὶ μεγα-

1) Τάφον] Τάφος· μνῆμα, λάκκος, τύμβος, μνημεῖον· Ταφή, ὁ ἐνταφιασμός.

2) Τῶν ἐπιφερομένων] Ἐπιφέρω ἐντθ. κατὰ καλὴν σημσ. Προσφέρω ἐξαιρ. ἐπὶ πάσης δήποτε ἱερᾶς προσφορᾶς, ἀφιερώσεως, θυσίας, λαβῆς προσφερομένης εἰς θεῶν ἢ νεκρῶν τιμήν, «ἐπιφ. θεοῖς ἱερά, τάφῳ χοάς·» κ.τ.τ. Τὰ ἐπιφερόμενα· τὰ προσφερόμενα ἐπὶ τοῦ τάφου (περίδειπνα, μελίκρατον, ἐναγίσματα, κ.τ.τ.)

3) Τριήρων ἁμίλλαις] Ἔθος ἦν καὶ τριήρεσιν ἁμιλλᾶσθαι διαπλέοντας, οὐ μόνον ἐν τοῖς ἐπιταφίοις ἀγῶσιν ἀλλὰ καὶ ἐν ἑορταῖς, οἷον τοῖς Παναθηναίοις, ἢ δῆλον καὶ ἐκ τοῦ Λυσίου ('Απολογ. δωροδοκ.)

4) Καὶ λείποντ'... ὑπερβολὴν] καὶ ὅτι δὲν παραλείπεις τι, τὸ ὁποῖον εἰς τὴν τούτων λαμπρότητα νὰ συντελῇ.

5) Εἴ τις δυνηθείη...πεπραγμένων] ἂν τις δυνηθῇ νὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λοψύχους τῶν ἀνδρῶν οὐ μόνον ἀντὶ τῶν τοιούτων
ἐπαινεῖσθαι βουλομένους ἀλλ' ἀντὶ τοῦ ζῆν ἀποθνήσκειν
εὐκλεῶς αἱρουμένους, καὶ μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ
βίου σπουδάζοντας, καὶ πάντα ποιοῦντας, ὅπως ἀθάνα-
τον τὴν περὶ αὐτῶν μνήμην καταλείψουσιν. Αἱ μὲν 4
οὖν δαπάναι τῶν μὲν τοιούτων οὐδὲν ἐξεργάζονται,
τοῦ δὲ πλούτου σημεῖόν εἰσιν· οἱ δὲ περὶ τὴν μουσι-
κὴν[1] καὶ τὰς ἄλλας ἀγωνίας[2] ὄντες, οἱ μὲν τὰς δυ-
νάμεις τὰς αὑτῶν, οἱ δὲ τὰς τέχνας ἐπιδειξάμενοι,
σφᾶς αὐτοὺς ἐντιμοτέρους κατέστησαν· ὁ δὲ λόγος εἰ
καλῶς διέλθοι τὰς ἐκείνου πράξεις, ἀείμνηστον ἂν τὴν
ἀρετὴν τὴν Εὐαγόρου παρὰ πᾶσιν ἀνθρώποις ποιήσειεν.
(ϛ'.) Ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐπαινεῖν[3] τοὺς 5

ἐξιστορήσῃ τὰ ἔργα καὶ τοὺς κινδύνους (πολέμους) τῶν ἐπαξίως ὑπ' ἐκείνου πραχθέντων.

1) Οἱ δὲ περὶ τὴν μουσικὴν] οἱ δὲ μουσικοί.

2) Ἀγωνίας] Σημειούσθω τὸ, ἀγωνίας, ἀντὶ τοῦ μᾶλλον ἐν χρήσει, ἀγῶνας· ἄλλως τε καὶ διὰ τὸν Ἁρποκρατίονα, ὅς τοῦτο μὲν παρέδραμε, τὸ δ' ἀγωνιᾶν, ἀντὶ τοῦ, ἀγωνίζεσθαι, ὡς Ἰσοκράτους χρησαμένου ἔν τε τῷ Πανηγυρικῷ, καὶ ἐν τῷ περὶ τῆς Ἀντιδόσεως, παραδέδωκε, καίπερ ἐν οὐδετέρῳ τῶν λόγων τούτων νῦν σῳζομένης τῆς λέξεως. Ἐχρήσατο δὲ καὶ ὁ τὸν εἰς Δημοσθένη ψευδῶς ἀναφερόμενον (Ἐρωτ. σ. 1408) γράψας, ὅς Ἀνδροτίων εἶναι ὁ Ἰσοκράτους μαθητὴς οὐκ ἀπεικότως ὑπείληπται, τῷ ἀγωνία, ἀντὶ τοῦ, ἀγών. Οἶδε τὴν λέξιν καὶ ἡ συνήθεια, ὡς ἐπὶ τὸ πολὺ τάττουσα ἐπὶ τοῦ τελευταίου ἀγῶνος, ὃν ἡ φύσις ἀγωνίζεται πρὸς τὸν θάνατον, ἐφ' οὗ τέτακται καὶ τὸ Γαλ. Agonie.

3) Ἐπαινεῖν] Ἰστέον, ὅτι ἔπαινος μὲν κυρίως κληθεὶς ὁ λόγος, ὁ ἐγκωμιάζων μόνην πρᾶξιν. Ἐγκώμιον δὲ τὸ περιλαμβάνον πολλὰς πράξεις, (Ἐκ τοῦ Σουΐδα λέξ. Ἐγκώμ.) Κατ' Ἀριστοτέλη δὲ (Ἠθ. Νικομ. Α, ιβ'.).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐφ' αὑτῶν[1] ἄνδρας ἀγαθοὺς γεγενημένους, ἵν' οἵ τε δυνάμενοι τὰ τῶν ἄλλων ἔργα κοσμεῖν ἐν εἰδόσι ποιούμενοι τοὺς λόγους ταῖς ἀληθείαις ἐχρῶντο περὶ αὐτῶν, οἵ τε νεώτεροι φιλοτιμοτέρως διέκειντο πρὸς τὴν ἀρετὴν, εἰδότες, ὅτι τούτων εὐλογήσονται μᾶλλον ὧν ἂν
6 ἀμείνους σφᾶς αὐτοὺς παράσχωσιν. Νῦν δὲ τίς οὐκ ἂν ἀθυμήσειεν, ὅταν ὁρᾷ τοὺς μὲν περὶ τὰ Τρωϊκὰ καὶ τοὺς ἐπέκεινα γενομένους[2] ὑμνουμένους[3] καὶ τραγῳδουμένους[4], αὑτὸν δὲ προειδῇ, μηδ' ἂν ὑπερβάλλῃ τὰς ἐκείνων ἀρετὰς, μηδέποτε τοιούτων ἐπαίνων ἀξιωθησόμενον; τούτων δ' αἴτιος ὁ φθόνος, ᾧ τοῦτο μόνον ἀγαθὸν πρόσεστιν, ὅτι μέγιστον κακὸν τοῖς ἔχουσίν ἐστιν. Οὕτω γάρ τινες δυσκόλως πεφύκασιν, ὥσθ'. ἥδιον ἂν εὐλογουμένων ἀκούοιεν, οὓς οὐκ ἴσασιν εἰ γεγόνασιν, ἢ τούτων, ὑφ' ὧν εὖ πεπονθότες αὐτοὶ τυγχάνουσιν[5].

ὁ μὲν ἔπαινος κυρίως τῆς ἀρετῆς, τὸ δ' ἐγκώμιον τῶν ἔργων. Ὅμως ἀδιαφόρως τούτοις κέχρηνται.

1) Τοὺς ἐφ' αὑτῶν] τοὺς ἐπὶ τῶν ἡμερῶν των.

2) Τοὺς ἐπέκεινα γενομένους] Οἷον Ἴναχος, Ἐριχθόνιος, Εὔμολπος.

3) Ὑμνουμένους] Δι' ὕμνων ἐγκωμιαζομένους.

4) Τραγῳδουμένους] Ἐν δράμασιν ᾀδομένους· ἐπεὶ καὶ ἡ τραγῳδία παρὰ τὸ ᾄδω, γέγονεν· ᾔδοντο γὰρ τὰ πλεῖστα ἐν αὐτῇ. Διὸ καὶ ἡ συνήθεια, καταχρησαμένη ἀπ' αὐτῶν ἤδη τῶν Βυζαντινῶν συγγραφέων, τραγῳδῶ, ἢ τραγουδῶ, λέγει τὸ ᾄδω, καὶ Τραγῴδιον, ἢ τραγούδιον, τὴν ᾠδήν καὶ παροιμίαν οὐκ ἄχρηστον ἔπλασε τὴν «Ὅστις εἶν' ἔξω τοῦ χοροῦ πολλὰ τραγῴδια 'ξεύρει,» ἐπὶ τῶν εἰκῇ καὶ ἀλογίστως κρινόντων, ἅπερ ἂν αὐτοὶ πράττοντες πολλῷ χεῖρον καὶ καταδεέστερον ἔπραξαν.

5) Οὕτω γάρ τινες δυσκόλως... αὐτοὶ τυγχάνου-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οὐ μὴν δουλευτέον τοὺς νοῦν ἔχοντας[1] τοῖς οὕτω κα- 7
κῶς φρονοῦσιν, ἀλλὰ τῶν μὲν τοιούτων ἀμελητέον, τοὺς δ' ἄλλους ἐθιστέον ἀκούειν, περὶ ὧν καὶ λέγειν δίκαιόν ἐστιν, ἄλλως τ' ἐπειδὴ καὶ τὰς ἐπιδόσεις ἴσμεν γιγνομένας καὶ τῶν τεχνῶν καὶ τῶν ἄλλων ἁπάντων οὐ διὰ τοὺς ἐμμένοντας τοῖς καθεστῶσιν ἀλλὰ διὰ τοὺς ἐπανορθοῦντας καὶ τολμῶντας ἀεί τι κινεῖν τῶν μὴ καλῶς ἐχόντων[2].

(γ'.) Οἶδα μὲν οὖν, ὅτι χαλεπόν[3] ἐστιν, ὃ μέλλω 8
ποιεῖν, ἀνδρὸς ἀρετὴν διὰ λόγων ἐγκωμιάζειν. Σημεῖον δὲ μέγιστον· περὶ μὲν γὰρ[4] ἄλλων πολλῶν καὶ παντοδαπῶν λέγειν τολμῶσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες, περὶ δὲ τῶν τοιούτων οὐδεὶς πώποτ' αὐτῶν συγγράφειν ἐπεχείρησεν. Καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώ-
μην[5]. Τοῖς μὲν γὰρ ποιηταῖς πολλοὶ δέδονται κόσμοι[6]· 9
καὶ γὰρ πλησιάζοντας τοὺς θεοὺς τοῖς ἀνθρώποις οἷόν τ' αὐτοῖς ποιῆσαι καὶ διαλεγομένους καὶ συναγωνιζο-

σιν] διότι ὑπάρχουσί τινες φύσει τοιαύτης δυστρόπου διαθέσεως, ὥστε ν' ἀκούωσιν εὐαρεστότερον, ὅτι ἐπαινοῦνται ἐκεῖνοι τοὺς ὁποίους δὲν γνωρίζουσιν, ἂν ὑπῆρξαν, ἢ οὗτοι ὑπὸ τῶν ὁποίων εὐηργετήθησαν.

1) Τοὺς νοῦν ἔχοντας] τοὺς νουνεχεῖς, εἰς τὸ δουλευτέον, κατὰ τὴν ἀπρόσ. σύντξ.

2) Ἀεί τι κινεῖν τῶν μὴ καλῶς ἐχόντων] πάντοτε νὰ μεταβάλλωσί τι τῶν μὴ καλῶς ἐχόντων.

3) Χαλεπὸν] δυσχερές, δύσκολον.

4) Γὰρ] ἐπεξηγηματικὸς ὁ γάρ.

5) Καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην] καὶ πολὺ τοὺς συγχωρῶ.

6) Πολλοὶ δέδονται κόσμοι] Συγκεχώρηται πλεοναχῶς κοσμεῖν τὰ λεγόμενα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μένους οἷς ἂν βουληθῶσι, καὶ περὶ τούτων δηλῶσαι μὴ μόνον τοῖς τεταγμένοις[1] ὀνόμασιν, ἀλλὰ τὰ μὲν ξένοις, τὰ δὲ καινοῖς[2], τὰ δὲ μεταφοραῖς, καὶ μηδὲν παραλιπεῖν ἀλλὰ πᾶσι τοῖς εἴδεσι διαποικῖλαι τὴν
10 ποίησιν· τοῖς δὲ περὶ τοὺς λόγους οὐδὲν ἔξεστι τῶν τοιούτων, ἀλλ' ἀποτόμως καὶ τῶν ὀνομάτων τοῖς πολιτικοῖς μόνον καὶ τῶν ἐνθυμημάτων[3] τοῖς περὶ αὐτὰς τὰς πράξεις[4] ἀναγκαῖόν ἐστι χρῆσθαι. Πρὸς δὲ τούτοις οἱ μὲν[5] μετὰ μέτρων καὶ ῥυθμῶν ἅπαντα ποιοῦσιν, οἱ δ' οὐδενὸς τούτων κοινωνοῦσιν[6]· ἃ τοσαύτην ἔχει χάριν, ὥστ' ἂν καὶ τῇ λέξει καὶ τοῖς ἐνθυμήμασιν ἔχῃ κακῶς, ὅμως αὐταῖς ταῖς εὐρυθμίαις καὶ ταῖς συμμε-
11 τρίαις ψυχαγωγοῦσι τοὺς ἀκούοντας. Γνοίη δ' ἄν τις ἐκεῖθεν τὴν δύναμιν αὐτῶν· ἣν γάρ τις τῶν ποιημά-

1) Τεταγμένοις] τοῖς ἐν πλείονι χρήσει, ἃ μετ' ὀλίγον πολιτικὰ ὀνόματα καλέσει.

2] Τὰ μὲν ξένοις, τὰ δὲ καινοῖς] Ξένα μὲν ὀνόματα τὰ ἀφ' ἑτέρας γλώσσης ἢ διαλέκτου, καινὰ δὲ τὰ ἐφ' ἑτέρας τασσόμενα σημασίας τῆς ἐφ' ἧς τέως ἐτέτακτο, ἢ καὶ ἀνάλογον τοῖς τεταγμένοις πλαττόμενα.

3) Τοῖς δὲ περὶ τοὺς λόγους..... τῶν ἐνθυμημάτων] εἰς δὲ τοὺς λογογράφους οὐδὲν τῶν τοιούτων πλεονεκτημάτων εἶναι συγκεχωρημένον, ἀλλ' εἶναι αὐστηρῶς ἀναγκαῖον νὰ μεταχειρίζωνται καὶ ἐκ τῶν ἐκφράσεων τὰς ἐν χρήσει μόνον, καὶ ἐκ τῶν στοχασμῶν.

4) Τοῖς περὶ αὐτὰς τὰς πράξεις] Τοῖς μὴ πόρρωθεν καὶ πανταχόθεν λαμβανομένοις, ἀλλ' ἐγγὺς οὖσι τῶν πράξεων, ὥς φησιν Ἀριστοτέλης (Ῥητορικ. Β, κβ'.).

5) Οἱ μὲν] ποιηταί.

6) Οἱ δ' οὐδενὸς τούτων κοινωνοῦσι] οἱ δὲ καταλογάδην γράφοντες (λογογράφοι) οὔτε μέτρων, οὔτε ῥυθμοῦ κοινωνοῦσι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

των τῶν εὐδοκιμούντων τὰ μὲν ὀνόματα καὶ τὰς διανοίας καταλίπῃ, τὸ δὲ μέτρον διαλύσῃ, φανήσεται πολὺ καταδεέστερα τῆς δόξης ἧς νῦν ἔχομεν περὶ αὐτῶν. Ὅμως δὲ καίπερ τοσοῦτον πλεονεκτούσης τῆς ποιήσεως, οὐκ ὀκνητέον ἀλλ' ἀποπειρατέον τῶν λόγων ἐστίν, εἰ καὶ τοῦτο δυνήσονται, τοὺς ἀγαθοὺς ἄνδρας εὐλογεῖν μηδὲν χεῖρον τῶν ἐν ταῖς ᾠδαῖς καὶ τοῖς μέτροις ἐγκωμιαζόντων[1].

(δ'.) Πρῶτον μὲν οὖν περὶ τῆς φύσεως[2] τῆς Εὐα- 12
γόρου, καὶ τίνων ἦν ἀπόγονος, εἰ καὶ πολλοὶ προεπίστανται, δοκεῖ μοι πρέπειν κἀμὲ τῶν ἄλλων ἕνεκα[3] διελθεῖν περὶ αὐτῶν, ἵνα πάντες εἰδῶσιν, ὅτι καλλίστων αὐτῷ καὶ μεγίστων παραδειγμάτων καταλειφθέντων οὐδὲν καταδεέστερον αὑτὸν ἐκείνων[4] παρέσχεν.
Ὁμολογεῖται[5] μὲν γὰρ τοὺς ἀπὸ Διὸς εὐγενεστάτους 13
τῶν ἡμιθέων[6] εἶναι, τούτων δ' αὐτῶν οὐκ ἔστιν ὅστις

1) Οὐκ ὀκνητέον.....ἐγκωμιαζόντων] δὲν πρέπει νὰ διστάζωμεν, ἀλλὰ νὰ δοκιμάζωμεν τοὺς πεζοὺς λόγους, ἂν θέλωσι κατορθώσει καὶ τοῦτο, δηλαδὴ τὸ νὰ ἐπαινῶσι τοὺς ἐναρέτους ἄνδρας ὄχι κατώτερον ἐκείνων, οἵτινες τοὺς ἐγκωμιάζουσι δι' ἐμμέτρων ᾠδῶν.

2) Περὶ τῆς φύσεως] περὶ τῆς γενέσεως·

3) Τῶν ἄλλων ἕνεκα] τῶν μὴ ἐπισταμένων χάριν.

4) Ἐκείνων] τῶν προγόνων.

5) Ὁμολογεῖται] Παθητ. Ὁμολογοῦμαι, μετὰ τῆς Ἀπρμφ, αὐτὸ Πάντες συμφωνοῦσιν εἴς τι, εἶναι πασίδηλον, ὅλος ὁ κόσμος παραδέχεταί τι ὡς γνωστὸν ἢ ἀληθινόν. Ὁμολογεῖται μὲν γὰρ τοὺς ἀπὸ Διὸς εὐγενεστάτους τῶν ἡμιθέων εἶναι = διότι πάντες συμφωνοῦσιν, ὅτι ἐκ τῶν ἡμιθέων οἱ εὐγενέστατοι εἶναι οἱ καταγόμενοι ἀπὸ τοῦ Διός.

6) Ἡμιθέων] Ἡμίθεος λέγε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐκ ἂν Αἰακίδας προκρίνειεν· ἐν μὲν γὰρ τοῖς ἄλλοις γένεσιν εὑρήσομεν τοὺς μὲν ὑπερβάλλοντας, τοὺς δὲ καταδεεστέρους ὄντας, οὗτοι δ' ἅπαντες ὀνομαστότατοι
14 τῶν καθ' αὐτοὺς γεγόνασιν. (ε'.) Τοῦτο μὲν γὰρ Αἰακὸς[1] ὁ Διὸς μὲν ἔκγονος, τοῦ δὲ γένους τοῦ Τευκριδῶν πρόγονος, τοσοῦτον διήνεγκεν, ὥστε γενομένων αὐχμῶν ἐν τοῖς Ἕλλησι[2] καὶ πολλῶν ἀνθρώπων διαφθαρέντων, ἐπειδὴ τὸ μέγεθος τῆς συμφορᾶς ὑπερέβαλλεν, ἦλθον οἱ προεστῶτες τῶν πόλεων ἱκετεύοντες αὐτὸν[3], νομίζοντες διὰ τῆς συγγενείας καὶ τῆς εὐσεβείας τῆς ἐκείνου τάχιστ' ἂν εὑρέσθαι παρὰ τῶν θεῶν
15 τῶν παρόντων κακῶν ἀπαλλαγήν. Σωθέντες δὲ καὶ τυχόντες ὧν ἐδεήθησαν, ἱερὸν ἐν Αἰγίνῃ κατεστήσαντο[4] κοινὸν τῶν Ἑλλήνων, οὗπερ ἐκεῖνος ἐποιήσατο τὴν εὐχήν[5]. Καὶ κατ' ἐκεῖνόν τε τὸν χρόνον, ἕως ἦν μετ'

ται ὁ γεννηθεὶς ἐκ θεοῦ καὶ θνητῆς, ἢ ἐκ θνητοῦ καὶ θεᾶς.

1) Αἰακὸς] υἱὸς τοῦ Διὸς καὶ τῆς Αἰγίνης, θυγατρὸς τοῦ ποταμοῦ Ἀσωποῦ, ἐβασίλευσεν εἰς τὴν νῆσον Οἰνόην, τὴν ὁποίαν ὠνόμασεν Αἴγιναν ἐκ τοῦ ὀνόματος τῆς μητρός του.

2) Ὥστε γενομένων αὐχμῶν ἐν τοῖς Ἕλλησι] ὥστε, ὅτε συνέβη ἀνομβρία εἰς τὴν Ἑλλάδα.

3) Ἦλθον οἱ προεστῶτες τῶν πόλεων ἱκετεύοντες αὐτὸν] ἦλθον οἱ πρόκριτοι τῶν πόλεων, ἵνα τὸν παρακαλέσωσι.

4) Ἱερὸν ἐν Αἰγίνῃ κατεστήσαντο] Τὸ καὶ Αἰάκειον, παρὰ τὸν ἥρωα, καλούμενον περὶ οὗ ἔπιθι τὸν Παυσανίαν. Ἐκαλεῖτο δὲ καὶ ἡ ἑορτὴ ἣν ἦγον Αἰακῷ, καὶ ὁ ἀγὼν ὃν ἠγωνίζοντο, πληθυντικῶς καὶ οὐδετέρως, Αἰάκεια.

5) Οὗπερ ἐκεῖνος ἐποιήσατο τὴν εὐχὴν] Ἐν τῷ τόπῳ, ὅπου ἐκεῖνος προσηυχήθη.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀνθρώπων, μετὰ καλλίστης ὢν δόξης διετέλεσεν· ἐπειδή τε μετήλλαξε τὸν βίον, λέγεται παρὰ Πλούτωνι[1] καὶ Κόρῃ[2] μεγίστας τιμὰς ἔχων παρεδρεύειν ἐκείνοις. (ς΄.).
Τούτου δὲ παῖδες[3] ἦσαν Τελαμὼν καὶ Πηλεύς, ὧν 16
ὁ μὲν ἕτερος μεθ' Ἡρακλέους ἐπὶ Λαομέδοντα[4] στρατευσάμενος ἀριστείων ἠξιώθη, Πηλεὺς δ' ἔν τε τῇ μάχῃ τῇ πρὸς Κενταύρους[5] ἀριστεύσας καὶ κατὰ πολλοὺς ἄλλους κινδύνους εὐδοκιμήσας Θέτιδι τῇ Νηρέως, θνητὸς ὢν ἀθανάτῃ, συνῴκησε, καὶ μόνου τούτου φασὶ τῶν προγεγενημένων ὑπὸ θεῶν ἐν τοῖς γάμοις[6]

1) Πλούτωνι] Πλούτων θεὸς καὶ βασιλεὺς τοῦ Ἅδου, υἱὸς δὲ τοῦ Κρόνου καὶ τῆς Ῥέας καὶ ἀδελφὸς τοῦ Διός.

2) Κόρῃ] Κόρη καὶ Κούρη ἐπίθετ. τῆς Περσεφόνης, ὑπὸ τὸ ὁποῖον συνήθως ὠνομάζετο εἰς τὴν ἑορτὴν τῶν Ἐλευσινίων ἐν Ἀττικῇ· Εὐρπ. Ἀλκ. 358. Ἡ Περσεφόνη ἦτο θυγάτηρ τοῦ Διὸς καὶ τῆς Δήμητρος, σύζυγος δὲ τοῦ Πλούτωνος.

3) Τούτου δὲ παῖδες κ.τ.λ.] Ἡ ἀπόδοσις πρὸς τὸ ἀνωτέρω, Τοῦτο μὲν γὰρ Αἰακὸς ὥσπερ ἂν εἰ ἔλεγε, τοῦτο δὲ, τῶν αὐτοῦ παίδων, Τελαμῶνος καὶ Πηλέως, ὁ μὲν ἕτερος κ.τ.λ.

4) Λαομέδοντα] Ὁ Λαομέδων ἦτο υἱὸς μὲν τοῦ Ἴλλου καὶ τῆς Εὐρυδίκης, βασιλεὺς δὲ τῆς Τρωάδος. Ὁ Ἡρακλῆς πολεμήσας αὐτὸν, διότι παρὰ τὴν ὑπόσχεσίν του δὲν τὸν ἀντήμειψε διὰ τὸν φόνον θαλασσίου τινὸς τέρατος, ὅπερ ἔβλαπτε τὴν ἐπικράτειάν του, ἐκυρίευσε τὴν πόλιν καὶ αἰχμαλωτίσας τὴν θυγατέρα του Ἡσιόνην, ἐνύμφευσεν αὐτὴν μετὰ τοῦ φίλου του καὶ συνεργοῦ Τελαμῶνος.

5) Κενταύρους] Οἱ Κένταυροι ἦσαν ἀγρία τις φυλὴ Θεσσαλῶν. Ἐμυθολογοῦντο δὲ, ὅτι ἦσαν ἀπὸ μὲν τῆς κεφαλῆς ἕως εἰς τὴν κοιλίαν ἄνθρωποι, ἀπὸ δὲ τῆς κοιλίας καὶ κάτω ἵπποι.

6) Καὶ μόνου τούτου... ἐν τοῖς γάμοις] Καὶ μὴν καὶ ἐν τοῖς τοῦ Κάδμου γάμοις ᾆσαι τὰς Μούσας καὶ τὰς χάριτας, αὐτοῦ κιθαρίζοντος Ἀπόλλωνος, πα-



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

17 ὑμέναιον[1] ᾀσθῆναι.(ζ΄.) Τούτοιν δ' ἑκατέρου, Τελαμῶνος μὲν Αἴας καὶ Τεῦκρος ἐγενέσθην, Πηλέως δ' Ἀχιλλεύς, οἳ μέγιστον καὶ σαφέστατον ἔλεγχον ἔδοσαν τῆς αὑτῶν ἀρετῆς[2]· οὐ γὰρ ἐν ταῖς αὑτῶν πόλεσι μόνον ἐπρώτευσαν, οὐδ' ἐν τοῖς τόποις, ἐν οἷς κατῴκουν, ἀλλὰ στρατείας τοῖς Ἕλλησιν ἐπὶ τοὺς βαρβάρους γενομένης, καὶ πολλῶν μὲν
18 ἑκατέρων[3] ἀθροισθέντων, οὐδενὸς δὲ τῶν ὀνομαστῶν ἀπολειφθέντος, ἐν τούτοις τοῖς κινδύνοις Ἀχιλλεὺς μὲν ἁπάντων διήνεγκεν, Αἴας δὲ μετ' ἐκεῖνον ἠρίστευσε, Τεῦκρος δὲ τῆς τε τούτων συγγενείας ἄξιος καὶ τῶν ἄλλων οὐδενὸς χείρων γενόμενος, ἐπειδὴ Τροίαν συνεξεῖλεν, ἀφικόμενος εἰς Κύπρον Σαλαμῖνά τε κατῴκισεν[4], ὁμώνυ-

ραδέδοται ὑπὸ τῶν ἀρχαίων (Θεογν. στ. 15—48, καὶ Διοδ. Σικελ. Ε, μθ΄.)

1) Ὑ μ έ ν α ι ο ν] Ὑμέναιος σημ. «τραγῴδιον,» τὸ ὁποῖον ἐτραγῴδουν οἱ συνοδεύοντες τὴν νύμφην εἰς τὴν οἰκίαν τοῦ γαμβροῦ. Εἰς ποίημα ἐπιγραφόμενον «Ἐπιθαλάμιος» ὁ Κάτουλλος διηγεῖται διὰ μακρῶν τοὺς γάμους τῆς Θέτιδος καὶ τοῦ Πηλέως, εἰς τοὺς ὁποίους ὅλοι οἱ θεοί, πλὴν τῆς Λητοῦς καὶ τοῦ Ἀπόλλωνος, παρευρέθησαν. Αἱ δὲ Μοῖραι κατὰ τὸν Λατῖνον ποιητὴν ἔψαλαν τὰς τύχας τῶν νέων συζύγων καὶ προεῖπον τὴν γέννησιν τοῦ Ἀχιλλέως.

2) Τ ο ύ τ ο ι ν δ' ἑ κ α τ έ ρ ο υ ... τ ῆ ς α ὑ τ ῶ ν ἀ ρ ε τ ῆ ς] Ἐκ τοῦ ἑνὸς δὲ καὶ ἐκ τοῦ ἄλλου τούτων, ἤτοι ἐκ μὲν τοῦ Τελαμῶνος ἐγεννήθησαν ὁ Αἴας καὶ ὁ Τεῦκρος, ἐκ δὲ τοῦ Πηλέως ὁ Ἀχιλλεύς, οἱ ὁποῖοι ἔδοσαν μεγίστην καὶ τρανοτάτην ἀπόδειξιν τῆς ἀνδρείας των.

3) Ἑ κ α τ έ ρ ω ν] τῶν Ἑλλήνων καὶ βαρβάρων.

4) Κ α τ ῴ κ ι σ ε ν] «Κατοικίζω πόλιν, γῆν» φέρω ἀνθρώπους ἀπ' ἄλλους τόπους διὰ νὰ κατοικήσωσιν, ἀποικίαν, ἐγκατοίκους φέρω, αὐξάνω τοὺς ἐγκατοίκους πόλεως, ἢ γῆς τινος· καὶ οὕτω γίνομαι αἴτιος τοῦ νὰ καλλιεργηθῇ ὁ τόπος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μον[1] ποιήσας τῆς πρότερον αὐτῷ πατρίδος οὔσης, καὶ τὸ γένος τὸ νῦν βασιλεῦον κατέλιπεν[2].

(η΄.) Τὰ μὲν οὖν ἐξ ἀρχῆς Εὐαγόρᾳ παρὰ τῶν προ- 19
γόνων ὑπάρξαντα τηλικαῦτα τὸ μέγεθός ἐστιν. Τοῦτον δὲ τὸν τρόπον τῆς πόλεως κατοικισθείσης κατὰ μὲν ἀρχὰς[3] οἱ γεγονότες ἀπὸ Τεύκρου τὴν βασιλείαν εἶχον, χρόνῳ δ᾽ ὕστερον[4] ἀφικόμενος ἐκ Φοινίκης ἀνὴρ φυγὰς[5] καὶ πιστευθεὶς ὑπὸ τοῦ τότε βασιλεύοντος καὶ μεγάλας δυναστείας λαβὼν[6] οὐ χάριν ἔσχε τούτων, ἀλλὰ κα- 20
κὸς μὲν γενόμενος περὶ τὸν ὑποδεξάμενον, δεινὸς δὲ πρὸς τὸ πλεονεκτῆσαι, τὸν μὲν εὐεργέτην ἐξέβαλεν, αὐτὸς δὲ τὴν βασιλείαν κατέσχεν. Ἀπιστῶν δὲ τοῖς πεπραγμένοις καὶ βουλόμενος ἀσφαλῶς κατασκευάσασθαι τὰ περὶ αὑτὸν τήν τε πόλιν ἐξεβαρβάρωσε[7] καὶ τὴν νῆσον

1) Ὁμώνυμον] Ὁμώνυμος ὁ, ἡ. Ἐπιρρ. ὁμωνύμως· ὁ ἔχων τὸ αὐτὸ, ἢ τὸ ὅμοιον ὄνομα, μετὰ δοτικ. καὶ γενικ.

2) Καὶ τὸ γένος τὸ νῦν βασιλεῦον κατέλιπεν] δηλ. τὸν Νικοκλέα καὶ τοὺς ἀδελφούς.

3) Κατὰ μὲν ἀρχὰς] ἐν ἀρχῇ.

4) Χρόνῳ δ᾽ ὕστερον] μετά τινα δὲ καιρόν.

5) Φυγὰς] Ὅστις ἔφυγεν ἀπό τινα χώραν, ἐξαιρ. ἐξόριστος, ἐξωρισμένος, διωγμένος ἀπὸ τὴν πατρίδα· κατὰ πρῶτον παρ᾽ Ἡροδοτ. 8, 65. πάνυ εὔχρηστον παρὰ τοῖς Ἀττ. ἔτι δὲ καὶ ὁ αὐτόμολος, Ξενοφ. Κυρ. Παιδ. στ΄. γ΄. 5, «Μῆδός τις ἐλέγετο φυγὰς εἶναι παρ᾽ ὑμῶν·» ἐνίοτε δὲ καὶ ὡς τὸ, φεύγων μετὰ αἰτ. Πλατ. Νμ. 9.

6) Καὶ μεγάλας δυναστείας λαβὼν] καὶ μεγάλα ἀξιώματα λαβὼν, μεγάλην ἰσχὺν λαβών.

7) Ἐξεβαρβάρωσε] Βάρβαρον ἀνθ᾽ Ἑλληνικῆς ἐποίησε, καὶ αὐτῶν τῶν κατοικούντων Ἑλλήνων τὰ ἤθη τῇ πρὸς τοὺς βαρβάρους ἐπιμιξίᾳ εἰς τὸ ἄγριον καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

21 ὅλην βασιλεῖ τῷ μεγάλῳ[1] κατεδούλωσεν. (θ΄.) Οὕτω δὲ τῶν πραγμάτων καθεστώτων καὶ τῶν ἐκγόνων τῶν ἐκείνου τὴν ἀρχὴν ἐχόντων Εὐαγόρας γίγνεται· περὶ οὗ τὰς μὲν φήμας καὶ τὰς μαντείας καὶ τὰς ὄψεις τὰς ἐν τοῖς ὕπνοις γενομένας, ἐξ ὧν μειζόνως ἂν φανείη γεγονὼς ἢ κατ᾽ ἄνθρωπον, αἱροῦμαι παραλιπεῖν[2], οὐκ ἀπιστῶν τοῖς λεγομένοις, ἀλλ᾽ ἵνα πᾶσι ποιήσω φανερὸν, ὅτι τοσούτου δέω πλασάμενος εἰπεῖν τι περὶ τῶν ἐκείνῳ πεπραγμένων, ὥστε καὶ τῶν ὑπαρχόντων ἀφίημι[3] τὰ τοιαῦτα, περὶ ὧν ὀλίγοι τινὲς ἐπίστανται καὶ μὴ πάντες οἱ πολῖται συνίσασιν. Ἄρξομαι[4] δ᾽ ἐκ τῶν ὁμολογουμένων λέγειν περὶ αὐτοῦ.

ἄμικτον τελέως μεταστήσας· τοιαῦτα γὰρ ἀπεργάζεται ἡ μετὰ βαρβάρων ἀναστροφὴ καὶ συμβίωσις. Διὸ καὶ ὁ παρὰ τῷ Εὐριπίδῃ Τυνδάρεως πρὸς Μενέλαον, ἀπὸ τοῦ περὶ Τροίαν ἐπανιόντα πολέμου, λέγει Ὀρέστ. 485, «Βεβαρβάρωσαι, χρόνιος ὢν ἐν βαρβάροις.»

1) Βασιλεῖ τῷ μεγάλῳ] Ὁ βασιλεὺς τῶν Περσῶν ὠνομάζετο κατ᾽ ἐξοχὴν βασιλεὺς ἢ ὁ μέγας βασιλεύς.

2) Οὕτω δὲ τῶν πραγμάτων.... αἱροῦμαι παραλιπεῖν]. Ἐνῷ δὲ τὰ πράγματα εὑρίσκοντο εἰς τὴν κατάστασιν ταύτην καὶ οἱ ἀπόγονοι τοῦ ἄρπαγος ἐκείνου κατεῖχον τὴν βασιλείαν, γεννᾶται ὁ Εὐαγόρας· τὰ περὶ τοῦ ὁποίου προμηνύματα καὶ τὰς προρρήσεις καὶ τὰ ἐνύπνια τὰ εἰς τοὺς ὕπνους γενόμενα, ἐκ τῶν ὁποίων ἤθελε φανῇ, ὅτι ὑπῆρξεν ὄν τι ἀνώτερον ἀνθρώπου, προτιμῶ νὰ παρασιωπήσω.

3) Ἀφίημι]. Ἐπὶ τῆς αὐτῆς σημασίας, ἐφ᾽ ἧς τέταχε καὶ ἡ συνήθεια τὸ, ἀφίνω· τὸ γὰρ, ἵημι, παρὰ τὸ θεματικώτερον, ἴω, παράγεται. Καὶ ἔστιν ἡ παρ᾽ ἡμῖν ἐπένθεσις τοῦ ν, ἀνάλογον τῇ παρὰ τοῖς ἀρχαίοις ἐν τῷ πίω, πίνω, καὶ ἐν τῷ, τίω τίνω.

4) Ἄρξομαι) μέσον=θέλω κάμει ἀρχήν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

(ι΄.) Παῖς μὲν γὰρ ὢν ἔσχε κάλλος καὶ ῥώμην καὶ 22
σωφροσύνην, ἅπερ τῶν ἀγαθῶν[1] πρεπωδέστατα τοῖς τη-
λικούτοις[2] ἐστίν. Καὶ τούτων μάρτυρας ἂν τις ποιή-
σαιτο, τῆς μὲν σωφροσύνης τοὺς συμπαιδευθέντας τῶν
πολιτῶν, τοῦ δὲ κάλλους ἅπαντας τοὺς ἰδόντας, τῆς
δὲ ῥώμης τοὺς (θεασαμένους τοὺς) ἀγῶνας, ἐν οἷς ἐκεῖ-
νος τῶν ἡλικιωτῶν ἐκρατίστευσεν[3]. Ἀνδρὶ δὲ γενομένῳ 23
ταῦτά τε πάντα συνηυξήθη καὶ πρὸς τούτοις ἀνδρία
προσεγένετο καὶ σοφία καὶ δικαιοσύνη, καὶ ταῦτ᾽ οὐ
μέσως[4] οὐδ᾽ ὥσπερ ἑτέροις τισὶν, ἀλλ᾽ ἕκαστον αὐτῶν
εἰς ὑπερβολήν[5]· τοσοῦτον γὰρ καὶ ταῖς τοῦ σώματος
καὶ ταῖς τῆς ψυχῆς ἀρεταῖς διήνεγκεν[6], ὥσθ᾽ ὁπότε 24
μὲν αὐτὸν ὁρῷεν οἱ τότε βασιλεύοντες, ἐκπλήττεσθαι
καὶ φοβεῖσθαι περὶ τῆς ἀρχῆς, ἡγουμένους οὐχ οἷόν τ᾽
εἶναι τὸν τοιοῦτον τὴν φύσιν ἐν ἰδιώτου μέρει διαγα-
γεῖν[7], ὁπότε δ᾽ εἰς τοὺς τρόπους ἀποβλέψειαν, οὕτω

1) Ἅπερ τῶν ἀγαθῶν] Γενικὴ διαιρετικὴ ἐκ τοῦ ἅπερ ἀντὶ ἅπερ ἀγαθά.

2) Τοῖς τηλικούτοις]. Τοῖς τοιαύτην ἡλικίαν ἔχουσι, τοῖς παισὶ δηλονότι. Ἐμιμήσατο δὲ καὶ τόδε τὸ χωρίον, καθὰ καὶ ἕτερα πλεῖστα τοῦ Ἰσοκράτους, ὁ μαθητὴς αὐτοῦ Ἀνδροτίων, ὁ τὸν εἰς Δημοσθένη ἀναφερόμενον (Ἐρωτκ. σελ. 1403) γράψας. «Ἡγοῦμαι δέ. . . . τοῖς τηλικούτοις μάλιστα καθήκειν, κάλλος μὲν ἐπὶ τῆς ὄψεως, σωφροσύνην δ᾽ ἐπὶ τῆς ψυχῆς, ἀνδρίαν δ᾽ ἐπ᾽ ἀμφοτέρων τούτων.»

3) Ἐκρατίστευσεν] Κρείττων ἐγένετο, ὑπερεβάλετο.

4) Μέσως] ἐπιρρ. = μετρίως.

5) Εἰς ὑπερβολὴν] εἰς ὑπερβάλλοντα βαθμόν, ὑπερβαλλόντως.

6) Διήνεγκεν] ὑπερέβη.

7) Ἡγουμένους..... διαγαγεῖν] νομίζοντες ὅτι δὲν εἶναι δυνατὸν ὁ τοιοῦτος κατὰ τὴν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σφόδρα πιστεύειν, ὥστ' εἰ καί τις ἄλλος τολμῴη περὶ
αὐτοὺς ἐξαμαρτάνειν, νομίζειν Εὐαγόραν αὐτοῖς ἔσεσθαι
25 βοηθόν. (ια'.) Καὶ τοσοῦτον τῆς δόξης παραλλαττού-
σης οὐδετέρου τούτων ἐψεύσθησαν[1]· οὔτε γὰρ ἰδιώτης
ὢν διετέλεσεν οὔτε περὶ ἐκείνους ἐξήμαρτεν, ἀλλὰ το-
σαύτην ὁ δαίμων[2] ἔσχεν αὐτοῦ πρόνοιαν, ὅπως καλῶς
λήψεται τὴν βασιλείαν, ὥσθ' ὅσα μὲν ἀναγκαῖον ἦν
παρασκευασθῆναι δι' ἀσεβείας, ταῦτα μὲν ἕτερος ἔπρα-
26 ξεν, ἐξ ὧν δ' οἷόν τ' ἦν ὁσίως καὶ δικαίως λαβεῖν τὴν
ἀρχήν, Εὐαγόρᾳ διεφύλαξεν. Εἷς γὰρ τῶν δυναστευόν-
των[3] ἐπιβουλεύσας τόν τε τύραννον ἀπέκτεινε καὶ συλ-
λαβεῖν Εὐαγόραν ἐπεχείρησεν, ἡγούμενος οὐ δυνήσεσθαι
κατασχεῖν τὴν ἀρχήν, εἰ μὴ κἀκεῖνον ἐκποδὼν ποιή-
27 σαιτο. Διαφυγὼν δὲ τὸν κίνδυνον καὶ σωθεὶς εἰς Σό-
λους τῆς Κιλικίας[4] οὐ τὴν αὐτὴν γνώμην ἔσχε τοῖς

ἀξίαν ἄνθρωπος νὰ διέλθῃ τὴν ζωήν του ἐν τάξει ἁπλοῦ πολίτου

1) Καὶ τοσοῦτον τῆς δόξης.....ἐψεύσθησαν] Καὶ ἐν ᾧ τόσον ποικίλη καὶ διάφορος ἦτο ἡ περὶ αὐτοῦ κρίσις των, οὔτε κατὰ τὸν ἕνα, οὔτε κατὰ τὸν ἄλλον τῶν ἀνωτέρω στοχασμῶν ἐπλανήθησαν (ἠπατήθησαν).

2) Δαίμων] θεός. Τινὲς παράγουσι τὸ δαίμων, ὅπερ καὶ φαίνεται φυσικώτερον, παρὰ τὸ δαίω, τὸ διανέμω, καθότι ἐν τῇ λέξει δαίμων ἐπικρατεῖ ἡ ἰδέα οὐχὶ τοῦ εἰδέναι, ἀλλὰ τῆς διανομῆς τῶν τυχῶν τοῦ ἀνθρώπου.

3) Εἷς γὰρ τῶν δυναστευόντων] Ἀβδήμονα καλεῖ τοῦτον Διόδωρος ὁ Σικελιώτης (ΙΔ, 98) καὶ Τύριον γεγονέναι φησίν· ἔστι δ' ἡ Τύρος τῆς Φοινίκης.

4) Σόλους τῆς Κιλικίας] Μνημονεύει τοῦ χωρίου Ἁρποκρατίων· «Σόλοι· Ἰσοκράτης Εὐαγόρᾳ. Σόλοι, ἡ μὲν Κυπρικὴ πόλις, ἡ δὲ τῆς Κιλικίας, ὡς ἄλλοι τε ἱστοροῦσι καὶ Ἔφορος ἐν τῇ πέμπτῃ.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ταῖς τοιαύταις συμφοραῖς περιπίπτουσιν. Οἱ μὲν γὰρ ἄλλοι, κἂν ἐκ τυραννίδος ἐκπέσωσι, διὰ τὰς παρούσας τύχας ταπεινοτέρας[1] τὰς ψυχὰς ἔχουσιν· ἐκεῖνος δ' εἰς τοσοῦτον μεγαλοφροσύνης ἦλθεν, ὥστε τὸν ἄλλον χρόνον ἰδιώτης ὤν, ἐπειδὴ φεύγειν ἠναγκάσθη, τυραννεῖν[2]
ᾠήθη δεῖν. Καὶ τοὺς μὲν πλάνους τοὺς φυγαδικοὺς[3] 28
καὶ τὸ δι' ἑτέρων ζητεῖν τὴν κάθοδον καὶ θεραπεύειν αὑτοῦ χείρους ὑπερεῖδεν, λαβὼν δὲ ταύτην ἀφορμήν, ἥνπερ χρὴ τοὺς εὐσεβεῖν βουλομένους, ἀμύνεσθαι[4] καὶ μὴ προτέρους ὑπάρχειν, καὶ προελόμενος ἢ κατορθώσας τυραννεῖν ἢ διαμαρτὼν ἀποθανεῖν, παρακαλέ-

Σόλοι πόλις τῆς Κιλικίας, παραθαλάσσιος, θεμελιωθεῖσα κατὰ Διογένη τὸν Λαέρτιον ὑπὸ τοῦ Σόλωνος ἀφήσαντος ἐν αὐτῇ μικρὸν ἀριθμὸν Ἀθηναίων, οἵτινες ἐλησμόνησαν ὀλίγον κατ' ὀλίγον τὴν μητρικήν των γλῶσσαν, ὅπερ παρέσχεν ἀφορμὴν νὰ ἐπινοηθῇ ἡ λέξις «σολοικισμὸς» δηλοῦσα ἔτι καὶ νῦν τὰ ἁμαρτήματα τῆς γλώσσης. Κιλικία, χώρα τῆς Μικρᾶς Ἀσίας, πρὸς τὸ μεσημβρινοανατολικὸν μεταξὺ τοῦ Ταύρου καὶ τῆς Μεσογείου θαλάσσης, ἀποτελοῦσα σήμερον τὸ μεγαλείτερον μέρος τῆς σατραπείας τῶν Ἀδάνων καὶ μέρος τῆς σατραπείας τοῦ Μαράσχ.

1) Ταπεινοτέρας] οὐχὶ ὡς ἐχρῆν δηλονότι τοὺς γεγονότας τυράννους.

2) Τυραννεῖν] ἐπὶ τοῦ ἁπλῶς βασιλεύειν.

3) Τοὺς φυγαδικοὺς] Τοὺς διὰ τὴν φυγὴν ἐξ ἀνάγκης συμβαίνοντας, οὓς εἰκὸς πλανᾶσθαι τοὺς φεύγοντας.

4) Ἥνπερ χρὴ τοὺς εὐσεβεῖν βουλομένους ἀμύνεσθαι κτλ.] Ὁ νοῦς τοῦ χωρίου εἶναι. Λαβὼν Εὐαγόρας ταύτην τὴν ἀφορμήν, ἣν ὀφείλουσι λαμβάνειν οἱ βουλόμενοι εὐσεβεῖν· ἔστι δ' αὕτη τὸ ἀμύνεσθαι τοὺς κακῶς ποιήσαντας, ἀλλὰ μὴ προτέρους αὐτοὺς κακῶς ποιεῖν ἄλλους.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σας[1] ἀνθρώπους, ὡς οἱ τοὺς πλείστους λέγοντες, περὶ πεντήκοντα, μετὰ τούτων παρεσκευάζετο ποιεῖσθαι τὴν
29 κάθοδον[2]. Ὅθεν καὶ μάλιστ᾽ ἄν τις καὶ τὴν φύσιν τὴν ἐκείνου καὶ τὴν δόξαν, ἣν εἶχε παρὰ τοῖς ἄλλοις θεωρήσειεν· μέλλοντος γὰρ πλεῖν μετὰ τοσούτων ἐπὶ τηλικαύτην πρᾶξιν τὸ μέγεθος[3] καὶ πάντων τῶν δεινῶν πλησίον ὄντων οὔτ᾽ ἐκεῖνος ἠθύμησεν οὔτε τῶν παρακληθέντων οὐδεὶς ἀποστῆναι τῶν κινδύνων ἠξίωσεν, ἀλλ᾽ οἱ μὲν ὥσπερ θεῷ συνακολουθοῦντες ἅπαντες ἐνέμειναν τοῖς ὡμολογημένοις, ὁ δ᾽ ὥσπερ ἢ στρατόπεδον ἔχων κρεῖττον τῶν ἀντιπάλων ἢ προειδὼς τὸ συμβη-
30 σόμενον οὕτω διέκειτο τὴν γνώμην. (ιβ᾽.) Δῆλον δ᾽ ἐκ τῶν ἔργων· ἀποβὰς γὰρ εἰς τὴν νῆσον οὐχ ἡγήσατο δεῖν χωρίον ἐχυρὸν[4] καταλαβὼν καὶ τὸ σῶμ᾽ ἐν ἀσφαλείᾳ καταστήσας περιιδεῖν[5], εἴ τινες αὐτῷ τῶν πολιτῶν βοηθήσουσιν· ἀλλ᾽ εὐθύς, ὥσπερ εἶχε, ταύτης τῆς νυκτὸς διελὼν τοῦ τείχους πυλίδα καὶ ταύτῃ τοὺς μεθ᾽
31 αὑτοῦ διαγαγὼν προσέβαλλε πρὸς τὸ βασίλειον[6]. Καὶ

1) Παρακαλέσας] ὑποκινήσας, προτρέψας.

2) Τὴν κάθοδον] Ἐπάνοδος μὲν γάρ ἐστι τὸ ἐπανελθεῖν τινα εἰς τὴν ἰδίαν πατρίδα, ἐξελθόντα ἐξ ἀρχῆς, μηδενὸς βιασαμένου. Κάθοδος δέ, ὅταν τις ἄκων ἀποδημήσῃ καὶ φυγαδευθῇ, ἢ συμφορᾶς τινος προηγησαμένης, ἢ διὰ φόβον τυράννων, ἤ τι τοιοῦτον.

3) Μετὰ τοσούτων....τὸ μέγεθος] Μεθ᾽ οὕτως ὀλίγων ἐφ᾽ οὕτω μεγάλην πρᾶξιν.

4) Ἐχυρὸν] ὀχυρόν.

5) Περιιδεῖν] Κυριολεκτικῶς τὸ κυκλῳ ἰδεῖν, καὶ μεταφορικῶς τὸ ἀναμεῖναι.

6) Δῆλον δ᾽ ἐκ τῶν ἔργων ....προσέβαλλε πρὸς τὸ βασίλειον] Φανερὸν δὲ γίνεται ἐκ τῶν ἔργων· διότι, ἀφοῦ ἀπεβιβάσθη εἰς τὴν νῆσον, δὲν ἐνόμι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοὺς μὲν θορύβους τοὺς ἐν τοῖς τοιούτοις καιροῖς γιγνομένους καὶ τοὺς φόβους τοὺς τῶν ἄλλων καὶ τὰς παρακελεύσεις τὰς ἐκείνου τί δεῖ λέγοντα διατρίβειν[1]; γενομένων δ' αὐτῷ τῶν μὲν περὶ τὸν τύραννον ἀνταγωνιστῶν, τῶν δ' ἄλλων πολιτῶν θεατῶν, δεδιότες γὰρ τοῦ μὲν τὴν ἀρχήν, τοῦ δὲ τὴν ἀρετὴν ἡσυχίαν εἶχον[2], οὐ πρότερον ἐπαύσατο μαχόμενος[3] καὶ μόνος 32
πρὸς πολλοὺς καὶ μετ' ὀλίγων πρὸς ἅπαντας [τοὺς ἐχθροὺς], πρὶν ἑλεῖν τὸ βασίλειον, καὶ τούς τ' ἐχθροὺς ἐτιμωρήσατο καὶ τοῖς φίλοις ἐβοήθησεν, ἔτι δὲ τῷ γένει τὰς τιμὰς τὰς πατρίους ἐκομίσατο, καὶ τύραννον αὐτὸν τῆς πόλεως κατέστησεν[4].

(ιγ΄.) Ἡγοῦμαι μὲν οὖν, εἰ καὶ μηδενὸς ἄλλου μνη- 33
σθείην, ἀλλ' ἐνταῦθα καταλίποιμι τὸν λόγον, ῥᾴδιον

σεν, ὅτι πρέπει, ἀφοῦ καταλάβῃ τόπον ὀχυρὸν, καὶ ἀσφαλίσῃ ἑαυτὸν, νὰ περιβλέψῃ, ἂν τινες ἐκ τῶν πολιτῶν θέλωσι τὸν βοηθήσει· ἀλλ' ὅπως εὑρίσκετο εὐθὺς, ἤτοι αὐτὴν ἐκείνην τὴν νύκτα, διασχίσας μικρὰν πύλην τοῦ τείχους καὶ διὰ ταύτης διαβιβάσας τοὺς συμπολεμιστὰς τοὺς μετ' αὐτοῦ, ὥρμησε πρὸς τὸ βασιλικὸν παλάτιον.

1) Τί δεῖ λέγοντα διατρίβειν;] διατί πρέπει νὰ χρονοτριβῶ, διηγούμενος;

2) Γενομένων δ' αὐτῷ... ...ἡσυχίαν εἶχον] ἀφοῦ δὲ ἀντεπολέμησαν κατ' αὐτοῦ οἱ σωματοφύλακες τοῦ τυράννου (Ἀβδήμονος), οἱ δ' ἄλλοι πολῖται διέμειναν θεαταί, διότι φοβούμενοι τοῦ μὲν Ἀβδήμονος τὴν ἐξουσίαν, τοῦ δ' Εὐαγόρου τὴν ἀνδρείαν ἡσύχαζον.

3) Μαχόμενος] κατηγορ. μετχ. ἐκ τοῦ ἐπαύσατο.

4) Ἔτι δὲ τῷ γένει... κατέστησεν] προσέτι δὲ ἀνέκτησε διὰ τὴν γενεάν του τὰς πατρογονικὰς τιμὰς καὶ ἀνέδειξεν ἑαυτὸν βασιλέα τῆς πόλεως.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐκ τούτων εἶναι γνῶναι[1] τήν τ' ἀρετὴν τὴν Εὐαγόρου καὶ τὸ μέγεθος τῶν πεπραγμένων· οὐ μὴν ἀλλ' ἔτι γε σαφέστερον περὶ ἀμφοτέρων τούτων ἐκ τῶν ἐχομένων[2]
34 οἶμαι δηλώσειν. (ιδ'.) Τοσούτων γὰρ τυράννων ἐν ἅπαντι τῷ χρόνῳ γεγενημένων οὐδεὶς φανήσεται τὴν τιμὴν ταύτην κάλλιον ἐκείνου κτησάμενος. Εἰ μὲν οὖν πρὸς ἕκαστον αὐτῶν τὰς πράξεις τὰς Εὐαγόρου παραβάλλοιμεν, οὔτ' ἂν ὁ λόγος ἴσως τοῖς καιροῖς ἁρμόσειεν οὔτ' ἂν ὁ χρόνος τοῖς λεγομένοις ἀρκέσειεν· ἢν δὲ προελόμενοι τοὺς εὐδοκιμωτάτους ἐπὶ τούτων σκοπῶμεν, οὐδὲν μὲν χεῖρον ἐξετῶμεν, πολὺ δὲ συντομώτερον διαλεχθησόμεθα περὶ αὐτῶν[3].

35 (ιε'.) Τῶν μὲν οὖν τὰς πατρικὰς βασιλείας παραλαβόντων τίς οὐκ ἂν τοὺς Εὐαγόρου κινδύνους προκρίνειεν; οὐδεὶς γάρ ἐστιν οὕτω ῥᾴθυμος, ὅστις ἂν δέξαιτο

1) Ῥᾴδιον εἶναι γνῶναι] ἐκ τοῦ ἡγοῦμαι=νομίζω ὅτι εἶναι εὔκολον νὰ γνωρίσῃ τις.

2) Ἐχομένων] Ὁ ἐχόμενος μεσ. μετχ.=ἑπόμενος, ἀκολουθῶν, συνεχόμενος, ἔγγιστος· «τὰ τούτων ἐχόμενα» μετὰ γενικ. Τὰ εἰς ταῦτα ἑπόμενα, τὰ ἑξῆς, τὰ ἐπακολουθοῦντα, τὰ συνεχόμενα μὲ αὐτά· ὁ Ἡροδτ. χρῆται αὐτῇ ἐξαιρ. περιφραστικῶς πολλάκις, «τὰ τῶν ὀνειράτων, καρπῶν, σιτίων, οἰκετῶν ἐχόμενα.» Τὰ ἐπακόλουθα τῶν ὀνειράτων καὶ λ. τὰ εἰς αὐτὰ ἐπαγόμενα, ἀναφερόμενα ἢ καὶ ἁπλῶς, ἀντὶ τὰ ὀνείρατα, οἱ καρποὶ κλ. Ἡροδτ. 1, 120, 190. 2, 77, 3. 25, 66. Ἐπιρρ. ἐχομένως=ἀκολούθως, μετὰ ταῦτα, εἰς τὸ ἑξῆς, κατόπιν, συνεχῶς, ἑπομένως, πρεπόντως.

3) Ἢν δὲ προελόμενοι.. ...διαλεχθησόμεθα περὶ αὐτῶν] ἐὰν δὲ προτιμήσαντες τοὺς ἐνδοξοτάτους ἐκ τούτων, οὐδόλως μὲν χειρότερον θέλομεν ἐξετάσει, πολὺ δὲ συντομώτερον θέλομεν ὁμιλήσει περὶ αὐτῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παρὰ τῶν προγόνων τὴν ἀρχὴν ταύτην[1] παραλαβεῖν μᾶλλον ἢ κτησάμενος ὥσπερ ἐκεῖνος τοῖς παισὶ τοῖς αὑτοῦ καταλιπεῖν. (ιϛ΄.) Καὶ μὴν τῶν γε παλαιῶν καθό- 36
δων αὗται μάλιστ' εὐδοκιμοῦσιν, ἃς παρὰ τῶν ποιητῶν ἀκούομεν· οὗτοι γὰρ οὐ μόνον τῶν γεγενημένων τὰς καλλίστας ἡμῖν ἀπαγγέλλουσιν, ἀλλὰ καὶ παρ' αὑτῶν καινὰς[2] συντιθέασιν. Ἀλλ' ὅμως οὐδεὶς αὐτῶν μεμυθολόγηκεν[3], ὅστις οὕτω δεινοὺς καὶ φοβεροὺς ποιησάμενος τοὺς κινδύνους εἰς τὴν αὑτοῦ κατῆλθεν[4]· ἀλλ' οἱ μὲν πλεῖστοι πεποίηνται διὰ τύχην λαβόντες τὰς βασιλείας, οἱ δὲ μετὰ δόλου καὶ τέχνης περιγενόμενοι τῶν ἐχθρῶν. (ιζ΄.) Ἀλλὰ μὴν τῶν γ' ἐπὶ τάδε γεγε- 37
νημένων, ἴσως δὲ καὶ τῶν ἁπάντων, Κῦρον τὸν Μήδων μὲν ἀφελόμενον τὴν ἀρχήν, Πέρσαις δὲ κτησάμενον, καὶ πλεῖστοι καὶ μάλιστα θαυμάζουσιν. Ἀλλ' ὁ μὲν τῷ Περσῶν στρατοπέδῳ τὸ Μήδων ἐνίκησεν, ὃ πολλοὶ καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ῥᾳδίως ἂν ποιήσειαν[5]· ὁ δὲ διὰ τῆς ψυχῆς τῆς αὑτοῦ καὶ τοῦ

1) Τὴν ἀρχὴν ταύτην] Τὴν τῆς βασιλείας δηλονότι· ἀναφέρεται γὰρ πρὸς τὸ μικρὸν ἀνωτέρω βασιλείας.

2) Καινὰς] ἐν ταῖς αὐταῖς ταύταις, καινὰ, ἀντὶ τοῦ, καινάς.

3) Μεμυθολόγηκεν] προσυπάκουε, ἄνδρα, ἥρωα, ἤ τι τοιοῦτον, πρὸς ὃ ἔχει ἀναφέρεται τὸ ἐπαγόμενον, ὅστις.

4) Εἰς τὴν αὑτοῦ κατῆλθεν] ἐπέστρεψεν εἰς τὴν πατρίδα του.

5) Ἀλλὰ μὴν τῶν γ' ἐπὶ τάδε γεγενημένων...ῥᾳδίως ἂν ποιήσειαν] Βεβαίως καὶ οἱ περισσότεροι καὶ κατ' ἐξοχὴν θαυμάζουσιν ἐξ ἐκείνων τῶν βασιλέων, οἵτινες ὑπῆρξαν ἐγγύ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σώματος τὰ πλεῖστα φαίνεται τῶν προειρημένων δια-
38 πραξάμενος. Ἔπειτ᾽ ἐκ μὲν τῆς Κύρου στρατηγίας οὔπω δῆλον, ὅτι καὶ τοὺς Εὐαγόρου κινδύνους ἂν ὑπέμεινεν, ἐκ δὲ τῶν τούτῳ πεπραγμένων ἅπασι φανερόν, ὅτι ῥᾳδίως ἂν κἀκείνοις τοῖς ἔργοις[1] ἐπεχείρησεν. Πρὸς δὲ τούτοις τῷ μὲν ὁσίως καὶ δικαίως ἅπαντα πέπρακται, τῷ δ᾽ οὐκ εὐσεβῶς ἔνια συμβέβηκεν· ὁ μὲν γὰρ τοὺς ἐχθροὺς ἀπώλεσε, Κῦρος δὲ τὸν πατέρα τὸν τῆς μητρὸς ἀπέκτεινεν[2]. Ὥστ᾽ εἴ τινες βούλοιντο μὴ τὸ μέγεθος τῶν συμβάντων ἀλλὰ τὴν ἀρετὴν τὴν ἑκατέρου κρίνειν, δικαίως ἂν Εὐαγόραν καὶ τούτου μᾶλ-

τερον τῶν ἡμετέρων χρόνων, ἴσως δὲ καὶ ἐξ ὅλων ἀνεξαιρέτως τὸν Κῦρον, ὅστις ἀφαιρέσας τὴν βασιλείαν ἀπὸ τῶν Μήδων, προσεποίησεν αὐτὴν εἰς τοὺς Πέρσας· ἀλλ᾽ ὁ μὲν Κῦρος ἐνίκησε τὸν στρατηγὸν τῶν Μήδων διὰ τοῦ Περσικοῦ στρατοῦ, τὸ ὁποῖον πολλοὶ καὶ ἐκ τῶν Ἑλλήνων καὶ ἐκ τῶν βαρβάρων ἤθελον πράξει εὐκόλως.

1) Τοῖς ἔργοις] εἰς τὸ ἐπεχείρησε δυνάμει τῆς ἐπί.

2) Κῦρος δὲ τὸν πατέρα τῆς μητρὸς ἀπέκτεινε] Παρ᾽ ἱστορίαν τὸ λεγόμενον· ὁ γὰρ Ἡρόδοτος (Α, ρλ΄.) διαρρήδην φησίν. « Ἀστυάγεα δὲ Κῦρος, κακὸν οὐδὲν ἄλλο ποιήσας, εἶχε παρ᾽ ἑωυτῷ, ἐς ὃ ἐτελεύτησε » Ἰουστῖνος δὲ (Α, ζ΄.), ὅτι καὶ Σατράπην αὐτὸν Ὑρκανίας κατέστησεν. Ἀριστοτέλης δέ (Πολιτικ. Ε, ι΄.) ἐπιθέσθαι μόνον τὸν Κῦρον τῷ Ἀστυάγει λέγει, οὐδὲν περαιτέρω μνημονεύσας. Οὐ μὴν διά γε ταῦτα ψεύσασθαι τὸν Ἰσοκράτη ὑποληπτέον, ἵν᾽ ἐπὶ μᾶλλον αὐξήσῃ τὴν ἀρετὴν Εὐαγόρου, ὡς ὑπέλαβεν ὁ Οὐόλφιος· συκοφάντου γάρ, οὐ χρηστοῦ ῥήτορος ἔργον, τὸ καταρρυπαίνειν τοὺς ἄλλους ἐπὶ τῷ μείζω τὴν ἀρετὴν ἐπιδεῖξαι ὧν ἐγκωμιάζειν προείλετο· ἀλλ᾽ εἰκὸς ἀλλαχόθεν ἀρύσασθαι τὰ περὶ Κύρου καὶ Ἀστυάγους. Ὅτι δὲ διεφώνουν ἐν πολλοῖς οἱ περὶ τῆς Ἀσσυρίων καὶ Μήδων βασιλείας συγγράψαντες, μαρτυρεῖ καὶ Διόδωρος ὁ Σικελιώτης (Β, λδ΄.)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λον ἐπαινέσειαν. Εἰ δὲ δεῖ συντόμως καὶ μηδὲν ὑπο- 39
στειλάμενον μηδὲ δείσαντα τὸν φθόνον ἀλλὰ παρρησίᾳ
χρησάμενον εἰπεῖν, οὐδεὶς οὔτε θνητὸς οὔθ᾿ ἡμίθεος οὔτ᾿
ἀθάνατος εὑρεθήσεται κάλλιον οὐδὲ λαμπρότερον οὐδ᾿
εὐσεβέστερον λαβὼν ἐκείνου τὴν βασιλείαν. Καὶ τού-
τοις ἐκείνως[1] ἄν τις μάλιστα πιστεύσειεν, εἰ σφόδρα
τοῖς λεγομένοις ἀπιστήσας ἐξετάζειν ἐπιχειρήσειεν, ὅπως
ἕκαστος ἐτυράννευσεν. Φανήσομαι γὰρ οὐκ ἐκ παντὸς
τρόπου[2] μεγάλα λέγειν προθυμούμενος ἀλλὰ διὰ τὴν
τοῦ πράγματος ἀλήθειαν οὕτω περὶ αὐτοῦ θρασέως εἰ-
ρηκώς.

(ιη΄.) Εἰ μὲν οὖν ἐπὶ μικροῖς διήνεγκε, τοιούτων ἂν 40
καὶ τῶν λόγων[3] αὐτῷ προσῆκεν ἀξιοῦσθαι· νῦν δ᾿ ἅ-
παντες ἂν ὁμολογήσειαν τυραννίδα[4] καὶ τῶν θείων
ἀγαθῶν καὶ τῶν ἀνθρωπίνων μέγιστον καὶ σεμνότατον
καὶ περιμαχητότατον εἶναι. Τὸν δὴ τὸ κάλλιστον τῶν
ὄντων κάλλιστα κτησάμενον τίς ἂν ἢ ποιητὴς ἢ

1) Ἐκείνως] Ἐπιρρ. Κατ᾿ ἐκεῖνον τὸν τρόπον· Ἰων. κείνως, Ἡροδτ. 1,120. Ἔτι δὲ καὶ κατὰ θλκ. γέν. ἐκείνῃ, χρήσιμον, τοῦτο μὲν ἐπὶ τόπου, ἐκεῖ, εἰς ἐκεῖνο τὸ μέρος, εἰς ἐκεῖνον τὸν δρόμον, ὅτε ἀναπληροῦται διὰ τοῦ ὁδῷ, τοῦτο δέ, ἐπὶ τρόπου κατ᾿ ἐκεῖνον τὸν τρόπον.

2) Ἐκ παντὸς τρόπου] Καὶ δικαίως, καὶ ἀδίκως. Σημειοῦ δὲ τὸ πλῆρες, ἵνα τὰ κατὰ τὰς ἄλλας πτώσεις ἀπροθέτως λεγόμενα, Παντὶ τρόπῳ, καὶ, Πάντα τρόπον, ἐλλειπτικὰ καλῇς τὸ μὲν τῆς Ἐν, τὸ δέ, τῆς, κατὰ, προθέσεως.

3) Τοιούτων ἂν καὶ τῶν λόγων] Μικρῶν δηλονότι.

4) Τυραννίδα] Τὴν βασιλείαν, ἐνταῦθα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λόγων εὑρετὴς[1] ἀξίως τῶν πεπραγμένων ἐπαινέσειεν;
41 (ιθ΄.) Οὐ τοίνυν ἐν τούτοις ὑπερβαλόμενος ἐν τοῖς ἄλλοις εὑρεθήσεται καταδεέστερος γενόμενος, ἀλλὰ πρῶτον μὲν εὐφυέστατος ὢν τὴν γνώμην καὶ πλεῖστα κατορθοῦν δυνάμενος ὅμως οὐκ ᾠήθη δεῖν ὀλιγωρεῖν οὐδ' αὐτοσχεδιάζειν[2] περὶ τῶν πραγμάτων, ἀλλ' ἐν τῷ ζητεῖν καὶ φροντίζειν καὶ βουλεύεσθαι τὸν πλεῖστον τοῦ χρόνου διέτριβεν, ἡγούμενος μέν, εἰ καλῶς τὴν αὑτοῦ φρόνησιν παρασκευάσειεν, ὁμοίως αὐτῷ καὶ τὴν βασιλείαν ἕξειν, θαυμάζων δ' ὅσοι τῶν μὲν ἄλλων[3] ἕνεκα τῆς ψυχῆς ποιοῦνται τὴν ἐπιμέλειαν, αὐτῆς δὲ ταύ-
42 της μηδὲν τυγχάνουσι φροντίζοντες[4]. Ἔπειτα καὶ περὶ τῶν πραγμάτων τὴν αὐτὴν διάνοιαν εἶχεν· ὁρῶν γὰρ τοὺς ἄριστα τῶν ὄντων ἐπιμελουμένους ἐλάχιστα λυπουμένους, καὶ τὰς ἀληθινὰς τῶν ῥᾳθυμιῶν οὐκ ἐν ταῖς ἀργίαις ἀλλ' ἐν ταῖς εὐπραγίαις[5] καὶ καρτερίαις[6] ἐνού-

1) Λόγων εὑρετής] εἶναι ὁ λογογράφος ἢ λογοποιός.

2) Αὐτοσχεδιάζειν] Ἀπροβουλεύτως καὶ μὴ προευτρεπισθέντα πράττειν, ἢ λέγειν σημ. τὸ αὐτοσχεδιάζειν. Καὶ οἱ μὲν Ἀττ. τῷ συνθέτῳ ἐχρήσαντο, οἱ μεταγενέστεροι δὲ καὶ τὸ ἁπλοῦν, σχεδιάζειν, ἐπὶ τῆς αὐτῆς σημασίας ἔταξαν, ὅ παρ' ἡμῖν νῦν τὸ Σχιαγραφεῖν ἐστι συνώνυμον, καθὰ καὶ τό, Σχέδιον τῷ Σχιαγραφήματι.

3) Τῶν μὲν ἄλλων] Ἐκ τοῦ ποιοῦνται τὴν ἐπιμέλειαν=ἐπιμελοῦνται.

4) Θαυμάζων δ' ὅσοι.... φροντίζοντες] ἠπόρει δὲ δι' ἐκείνους, ὅσοι ἐπιμελοῦνται περὶ τῆς ψυχῆς των χάριν τῶν ἄλλων ὠφελημάτων, περὶ αὐτῆς δὲ τῆς ἰδίας οὐδόλως φροντίζουσιν

5) Εὐπραγίαις] Ταῖς τῶν ἀγαθῶν ἔργων πράξεσι.

6) Καρτερίαις] Ταῖς ὑπομοναῖς τῶν πόνων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σας, οὐδὲν ἀνεξέταστον παρέλειπεν, ἀλλ' οὕτως ἀκρι-
βῶς καὶ τὰς πράξεις ᾔδει[1] καὶ τῶν πολιτῶν ἕκαστον
ἐγίγνωσκεν ὥστε μήτε τοὺς ἐπιβουλεύοντας αὐτῷ φθά-
νειν μήτε τοὺς ἐπιεικεῖς[2] ὄντας λανθάνειν, ἀλλὰ πάν-
τας τυγχάνειν τῶν προσηκόντων· οὐ γὰρ ἐξ ὧν ἑτέρων
ἤκουεν οὔτ' ἐκόλαζεν οὔτ' ἐτίμα τοὺς πολίτας, ἀλλ' ἐξ
ὧν αὐτὸς συνῄδει τὰς κρίσεις ἐποιεῖτο περὶ αὐτῶν. Ἐν 43
τοιαύταις δ' ἐπιμελείαις αὑτὸν καταστήσας οὐδὲ περὶ
τῶν κατὰ τὴν ἡμέραν ἑκάστην προσπιπτόντων οὐδὲ
περὶ ἓν πεπλανημένως εἶχεν, ἀλλ' οὕτω θεοφιλῶς καὶ
φιλανθρώπως διῴκει τὴν πόλιν[3] ὥστε τοὺς εἰσαφικνου-
μένους μὴ μᾶλλον Εὐαγόραν τῆς ἀρχῆς ζηλοῦν ἢ τοὺς
ἄλλους τῆς ὑπ' ἐκείνου βασιλείας· ἅπαντα γὰρ τὸν χρό-

1) Ἤδει] Εἴδω (γνωρίζω, εἰξεύρω)· αὕτη ἡ σημασ. προκύπτει ἀπὸ τοῦ παρακμ., ἐπειδὴ ὅ,τι εἶδεν ἢ ἤκουσέ τις, ἐκεῖνο ἠξεύρει· ὅθεν ἡ λέξις χρησιμεύει ἐπὶ τὸ πλεῖστον ἐπὶ ἀμέσως ἠξεύρειν καὶ ἐξαιρ. δι' ἀκοῆς, ἀντὶ γὰρ τοῦ, ἀμέσως ἠξεύρειν τίθεται τὸ, σύνοιδα. Οἱ κατὰ ταύτην τὴν σημασ. χρήσιμοι χρόνοι εἰσί. Παρακμ. ἀντὶ ἐνεστ. ἐν χρήσει, οἶδα, ἠξεύρω. Μετοχ. εἰδώς, ἠξεύρων. Ἀπαρμφ. εἰδέναι· νὰ ἠξεύρω. Προστ. ἴσθι, ἤξευρε. Ὑποτκ. εἰδῶ, ἐπιχ. καὶ ἰδέω. Εὐχτ. εἰδείην. Ὑπερσυντλ. ἀντὶ παρατ. ᾔδην καὶ ᾔδεα, Ἀττ. ᾔδη· ἤξευρα μλ. εἴσομαι, σπανιώτ. καὶ τὰ πλεῖστα παρὰ τοῖς ἐποπ. εἰδήσω, θέλει ἠξεύρω. Ὁ δὲ ἀόρ. καὶ ὁ παρκμ. λαμβάνονται ἀπὸ τοῦ γιγνώσκω.

2) Ἐπιεικεῖς] χρηστούς.

3) Ἐν τοιαύταις δ' ἐπιμελείαις... διῴκει τὴν πόλιν] Ἂν δὲ καὶ ἔθεσεν ἑαυτὸν εἰς φροντίδας τοιαύτης φύσεως, οὐδὲ περὶ τῶν καθ' ἑκάστην ἡμέραν συμβαινόντων κατ' οὐδὲν ἠπατᾶτο, ἀλλὰ τόσον θεαρέστως καὶ φιλανθρώπως ἐκυβέρνα τὴν πόλιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νον διετέλεσεν οὐδένα μὲν ἀδικῶν, τοὺς δὲ χρηστοὺς τιμῶν, καὶ σφόδρα[1] μὲν ἁπάντων ἄρχων, νομίμως δὲ
44 τοὺς ἐξαμαρτάνοντας κολάζων· οὐδὲν μὲν συμβούλων δεόμενος, ὅμως δὲ τοῖς φίλοις συμβουλευόμενος· πολλὰ μὲν τῶν χρωμένων[2] ἡττώμενος, ἅπαντα δὲ τῶν ἐχθρῶν περιγιγνόμενος· σεμνὸς[3] ὢν οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς[4] ἀλλὰ ταῖς τοῦ βίου κατασκευαῖς· οὐδὲ πρὸς ἓν ἀτάκτως οὐδ' ἀνωμάλως διακείμενος ἀλλ' ὁμοίως τὰς ἐν τοῖς ἔργοις ὁμολογίας ὥσπερ τὰς ἐν τοῖς λό-
45 γοις διαφυλάττων· μέγα φρονῶν οὐκ ἐπὶ τοῖς διὰ τύχην ἀλλ' ἐπὶ τοῖς δι' αὑτὸν γιγνομένοις[5]· τοὺς μὲν φίλους ταῖς εὐεργεσίαις ὑφ' αὑτῷ ποιούμενος, τοὺς δ' ἄλλους τῇ μεγαλοψυχίᾳ καταδουλούμενος· φοβερὸς ὢν οὐ

1) Σφόδρα] Ἰσχυρῶς, κραταιῶς, ἔστι δὲ αἰτιατικὴ πληθυντικὴ τοῦ οὐδετέρου, Σφοδρόν, τῷ ἀναβιβασμῷ τοῦ τόνου εἰς ἐπιρρηματικ. ἔννοιαν μεταπεσοῦσα τοῦ, Σφοδρῶς. Ἡ δὲ συνήθεια οὐδὲ τὸν τόνον ἐκίνησεν· ὡς ἐπὶ τὸ πολὺ γὰρ, σφοδρὰ προφέρει τὸ ἐπίρρημα. ὡς τὸ, Καλὰ, Ἀρκετὰ, κ.τ.λ. Τῷ δ' ἐπιθέτῳ χρῆται ἐν τῷ Σφοδρὸς ἄνεμος, καὶ Σφοδρὸν κρύος.

2) Τῶν χρωμένων] τῶν φίλων, τῶν οἰκείων, τῶν ἑταίρων.

3) Σεμνὸς] Σεμνὸς ἐνταῦθα, ὁ ἐν τῇ συνηθείᾳ βαρύς ὅθεν καὶ κάμνει τὸν βαρύν, λέγομεν περὶ τοῦ προσποιουμένου σεμνύνεσθαι. Ἀξιοπρεπὴς, σοβαρὸς, μεγαλοπρεπής.

4) Συναγωγαῖς] Συναγωγή ἐνταῦθα σύστασις, συστολὴ, ζάρωμα «Προσώπου συναγωγὴ ταὐτὸν τῷ »Προσώπου σύστασις,» κατήφεια.

5) Οὐδὲ πρὸς ἓν ἀτάκτως.... δι' αὑτὸν γιγνομένοις] νὰ μὴ διατίθεται πρὸς κανὲν πρᾶγμα ἀτάκτως καὶ ἀμέτρως, ἀλλὰ νὰ διαφυλάττῃ ἐξ ἴσου τὰς εἰς τὰ ἔργα συμφωνίας, καθὼς τὰς εἰς τοὺς λόγους· νὰ ὑπερηφανεύηται ὄχι διὰ τὰ ἐκ τύχης ἀγαθὰ, ἀλλὰ διὰ τὰ ἴδιά του κατορθώματα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῷ πολλοῖς χαλεπαίνειν ἀλλὰ τῷ πολὺ τὴν τῶν ἄλλων φύσιν ὑπερβάλλειν· ἡγούμενος τῶν ἡδονῶν ἀλλ' οὐκ ἀγόμενος ὑπ' αὐτῶν· ὀλίγοις πόνοις πολλὰς ῥᾳστώνας [1] κτώμενος ἀλλ' οὐ διὰ μικρὰς ῥᾳθυμίας μεγάλους πόνους ὑπολειπόμενος· ὅλως οὐδὲν παραλείπων ὧν προσεῖναι δεῖ τοῖς βασιλεῦσιν, ἀλλ' ἐξ ἑκάστης τῆς πολι- 46
τείας ἐξειλεγμένος τὸ βέλτιστον, καὶ δημοτικὸς μὲν ὢν τῇ τοῦ πλήθους θεραπείᾳ, πολιτικὸς δὲ τῇ τῆς πόλεως ὅλης διοικήσει, στρατηγικὸς δὲ τῇ πρὸς τοὺς κινδύνους εὐβουλίᾳ, τυραννικὸς [2] δὲ τῷ πᾶσι τούτοις διαφέρειν. Καὶ ταῦθ' ὅτι προσῆν Εὐαγόρᾳ, καὶ πλείω τούτων, ἐξ αὐτῶν τῶν ἔργων ῥᾴδιον καταμαθεῖν [3].

(κ'.) Παραλαβὼν γὰρ τὴν πόλιν ἐκβεβαρβαρωμένην 47
καὶ διὰ τὴν Φοινίκων ἀρχὴν οὔτε τοὺς Ἕλληνας προσδεχομένην οὔτε τέχνας ἐπισταμένην οὐτ' ἐμπορίῳ χρωμένην οὔτε λιμένα κεκτημένην ταῦτά τε πάντα διώρθωσε καὶ πρὸς τούτοις καὶ χώραν πολλὴν προσεκτήσατο καὶ τείχη προσπεριεβάλετο καὶ τριήρεις ἐναυπηγήσατο καὶ ταῖς ἄλλαις κατασκευαῖς οὕτως ηὔξησε

1) Ῥ ᾳ σ τ ώ ν α ς] Ῥᾳστώνη (ῥᾷστος) ἐνταῦθ. ἐλαφρότης, ἢ ἐλάφρυνσις καὶ ἀναψυχὴ ἀπὸ τῶν κόπων, πόνων, ἄνεσις, ἀνάπαυσις τοῦ πνεύματος ἢ τοῦ νοὸς ἐκ τῶν ἀλλεπαλλήλων φροντίδων, ἡσυχία, ἀμεριμνία. Ξενοφ. Ἱππ. ζ'. 19. «Ὅπου περ καὶ πονεῖν ἀναγκάζεται ὁ ἵππος ἐνταῦθα καὶ τῆς ῥᾳστώνης τυγχανέτω.»

2) Τ υ ρ α ν ν ι κ ὸ ς] Βασιλικός.

3) Κ α ὶ τ α ῦ θ' ὅ τ ι π ρ ο σ ῆ ν . . . ῥ ᾴ δ ι ο ν κ α τ α μ α θ ε ῖ ν] καὶ ὅτι ταῦτα ὑπῆρχον εἰς τὸν Εὐαγόραν καὶ περισσότερα τούτων εὔκολον εἶναι νὰ γνωρίσῃ τις ἐξ αὐτῶν τῶν ἔργων του.



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὴν πόλιν ὥστε μηδεμιᾶς τῶν Ἑλληνίδων ἀπολελεῖφθαι, καὶ δύναμιν τοσαύτην ἐνεποίησεν ὥστε πολλοὺς
48 φοβεῖσθαι τῶν πρότερον καταφρονούντων αὐτῆς[1]. Καίτοι τηλικαύτας ἐπιδόσεις[2] τὰς πόλεις λαμβάνειν οὐχ οἷόν τ' ἐστίν, ἢν μή τις αὐτὰς διοικῇ τοιούτοις ἤθεσιν οἵοις Εὐαγόρας μὲν εἶχεν, ἐγὼ δ' ὀλίγῳ πρότερον ἐπειράθην διελθεῖν[3]. Ὥστ' οὐ δέδοικα, μὴ φανῶ μείζω λέγων τῶν ἐκείνῳ προσόντων ἀλλὰ μὴ πολὺ λίαν
49 ἀπολειφθῶ τῶν πεπραγμένων αὐτῷ. Τίς γὰρ ἂν ἐφίκοιτο[4] τοιαύτης φύσεως, ὃς οὐ μόνον τὴν αὑτοῦ πόλιν πλείονος ἀξίαν ἐποίησεν ἀλλὰ καὶ τὸν τόπον ὅλον τὸν

1) Π α ρ α λ α β ὼ ν γ ά ρ . . ., τ ῶ ν π ρ ό τ ε ρ ο ν κ α τ α φ ρ ο ν ο ύ ν τ ω ν α ὐ τ ή ν]. Διότι ἐνῷ παρέλαβε τὴν πόλιν πλήρη βαρβάρων, καὶ ὡς ἐκ τῆς ἐξουσίας τῶν Φοινίκων οὔτε τοὺς Ἕλληνας δεχομένην, οὔτε τέχνας γνωρίζουσαν, οὔτε ἐμπόριον μεταχειριζομένην, οὔτε λιμένα ἔχουσαν, καὶ ταῦτα ὅλα διώρθωσε, καὶ πρὸς τούτοις καὶ ἔκτασιν πολλὴν γῆς ἀπέκτησε, καὶ προσέτι καὶ τείχη περὶ τὴν πόλιν ἔκτισε καὶ τριήρεις ἐφρόντισε νὰ κατασκευασθῶσι καὶ μὲ τὰ ἄλλα οἰκοδομήματα τόσον ηὔξησε τὴν πόλιν, ὥστε κάμμιᾶς τῶν Ἑλληνικῶν πόλεων νὰ μὴ ἦναι κατωτέρα· καὶ τοσοῦτο δυνατὴν κατέστησεν αὐτήν, ὥστε νὰ τὴν φοβῶνται πολλοὶ ἐξ ἐκείνων, οἱ ὁποῖοι πρότερον τὴν κατεφρόνουν.

2) Ἐ π ι δ ό σ ε ι ς] ἐπίδοσις, εως (ἐπιδίδωμι) ἐντθ. τὸ νὰ αὐξάνῃ προχωρῇ, προκόπτῃ τ ι ς εἴς τι· προκοπή, πρόοδος.

3) Ἐ π ε ι ρ ά θ η ν δ ι ε λ θ ε ῖ ν] προσεπάθησα νὰ ἐξιστορήσω.

4) Ἐ φ ί κ ο ι τ ο] Ἐφικνέομαι μ. ἐφίξομαι, ἀόρ. ἐφικόμην· μεσ. ἀποθ. (ἱκνέομαι, ἀνμλ.) Φθάνω τι εὐτυχῶς, φθάνω εἰς τὸ σκοπούμενον τέλος· ἐν γένει· Φθάνω, ἐπιτυχαίνω τὸν σκοπόν μου μετὰ γενικ. «ἅμα ἀλλήλων ἐφίκοντο» Ἔτι δὲ καὶ τροπκ. ἐντθ. ἐπιτυχαίνω τὸ ἀληθὲς λέγων, ὁμιλῶν περί τινος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

περιέχοντα τὴν νῆσον ἐπὶ πραότητα καὶ μετριότητα προήγαγεν; πρὶν μέν γε λαβεῖν Εὐαγόραν τὴν ἀρχὴν οὕτως ἀπροσοίστως[1] καὶ χαλεπῶς εἶχον, ὥστε καὶ τῶν ἀρχόντων τούτους ἐνόμιζον εἶναι βελτίστους, οἵτινες ὠμότατα πρὸς τοὺς Ἕλληνας διακείμενοι τυγχάνοιεν· 50
νῦν δὲ τοσοῦτον μεταπεπτώκασιν ὥσθ' ἁμιλλᾶσθαι μέν, οἵτινες αὐτῶν δόξουσι φιλέλληνες εἶναι μάλιστα, παιδοποιεῖσθαι δὲ τοὺς πλείστους αὐτῶν γυναῖκας λαμβάνοντας παρ' ἡμῶν, χαίρειν δὲ καὶ τοῖς κτήμασι καὶ τοῖς ἐπιτηδεύμασι τοῖς Ἑλληνικοῖς μᾶλλον ἢ τοῖς παρὰ σφίσιν αὐτοῖς[2], πλείους δὲ καὶ τῶν περὶ τὴν μουσικὴν καὶ τῶν περὶ τὴν ἄλλην παίδευσιν ἐν τούτοις τοῖς τόποις διατρίβειν, ἢ παρ' οἷς πρότερον εἰωθότες ἦσαν. Καὶ τούτων ἁπάντων οὐδεὶς ὅστις οὐκ ἂν Εὐαγόραν αἴτιον εἶναι προσομολογήσειεν.

(κα΄.) Μέγιστον δὲ τεκμήριον[3] καὶ τοῦ τρόπου καὶ 51

1) Ἀπροσοίστως] Ἀπροσομιλήτως, ἀμίκτως, ἀγρίως, οἷς δηλονότι οὐχ οἷόν τε προσφέρεσθαι καὶ πλησιάζειν. Ἀπροσοίστως: Μὴ προσδεχόμενοι τινὰς τῶν Ἑλλήνων.

2) Νῦν δὲ τοσοῦτον μεταπεπτώκασιν .... παρὰ σφίσιν αὐτοῖς] ἀλλὰ τώρα τοσοῦτον μετεβλήθησαν, ὥστε νὰ συνερίζωνται μὲν ποῖοι θέλουσι φανῇ ὅτι εἶναι κατ' ἐξοχὴν φιλέλληνες, νὰ τεκνοποιῶσι δὲ οἱ πλειότεροι ἐξ αὐτῶν λαμβάνοντες παρ' ἡμῶν τὰς γυναῖκας, νὰ χαίρωσι δὲ καὶ διὰ τὰ κτήματα (σκεύη, ἔπιπλα) καὶ διὰ τὰς λέξεις τὰς Ἑλληνικὰς περισσότερον, ἢ διὰ τὰς ἰδίας ἑαυτῶν.

3) Τεκμήριον] Σύμβολον, γνώρισμα, δεῖγμα, σημεῖον ἀληθές, ἀσφαλὲς καὶ ἀναμφίβολον μαρτύριον· ἀπόδειξις ἐξ ἀληθῶν καὶ ἀσφαλῶν σημείων, μαρτυρία ἀσφαλής, ἀναντίρρητος. Ὡς ἐπὶ τὸ πλεῖστον φέρεται ἐλλειπτικῶς,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῆς ὁσιότητος τῆς ἐκείνου· τῶν γὰρ Ἑλλήνων πολλοὶ
καὶ καλοὶ κἀγαθοὶ τὰς αὑτῶν πατρίδας ἀπολιπόντες
ἦλθον εἰς Κύπρον οἰκήσοντες, ἡγούμενοι κουφοτέραν
καὶ νομιμωτέραν εἶναι τὴν Εὐαγόρου βασιλείαν τῶν
οἴκοι πολιτειῶν· ὧν τοὺς μὲν ἄλλους ὀνομαστὶ διελ-
52 θεῖν πολὺ ἂν ἔργον εἴη. Κόνωνα δὲ τὸν διὰ πλείστας
ἀρετὰς πρωτεύσαντα τῶν Ἑλλήνων τίς οὐκ οἶδεν, ὅτι
δυστυχήσας ἐξ ἁπάντων ἐκλεξάμενος ὡς Εὐαγόραν ἦλθε[1],
νομίσας καὶ τῷ σώματι βεβαιοτάτην εἶναι τὴν παρ᾽
ἐκείνῳ καταφυγὴν καὶ τῇ πόλει τάχιστ᾽ ἂν αὐτὸν γε-
νέσθαι βοηθόν. Καὶ πολλὰ πρότερον ἤδη κατωρθωκὼς

ἐξυπακουομένου τοῦ «Τούτου τόδε ἐστίν· ἢ τούτου ἂν εἴη τὸ ἑπόμενον ἢ τὸ λεχθησόμενον,» τῆς ἑπομένης προτάσεως ἀρχομένης διὰ τοῦ γ ὰ ρ, ο ἷ ο ν ἐντθ. «Μέγιστον δὲ τεκμήριον .... τῶν γὰρ Ἑλλήνων κτλ.» καὶ Δημοσθ. κατὰ Ἀνδροτ. «Πρὸς μὲν χρημάτων κτῆσιν, οὐδὲ πώποτε ὁ δῆμος ἐσπούδασε, πρὸς δὲ δόξης, ὡς οὐδὲ πρὸς ἓν τῶν ἄλλων. Τεκμήριον δὲ χρήματα μὲν γὰρ πλεῖστα τῶν Ἑλλήνων ποτὲ σχών, τὰ πάντα φιλοτίμως ἀνήλωσεν κ.τ.τ. οὗ τὸ πλῆρες «Τεκμήριον δὲ τούτου τόδε ἐστίν.»

1) Δ υ σ τ υ χ ή σ α ς . . . . ὡ ς Ε ὐ α γ ό ρ α ν ἦ λ θ ε ν] Μνημονεύει τοῦ χωρίου τούτου Ἀριστοτέλης (Ῥητορικ. Β, κγ΄.), τὸν νοῦν, καὶ τὰς λέξει αὐτὰς φυλάξας, «Κόνων γοῦν δυστυχήσας, πάντας τοὺς ἄλλους παραλιπὼν ὡς Εὐαγόραν ἦλθεν.» Ἔστι δὲ ὁ λόγος περὶ τῆς πολυθρυλήτου τῶν Ἀθηναίων ἥττης, ἣν ὑπὸ Λυσάνδρου κατεναυμαχήθησαν τῷ τετάρτῳ τῆς ἐνενηκοστῆς τρίτης Ὀλυμπιάδος ἔτει, ἐν Αἰγὸς ποταμοῖς ἀντίον Λαμψάκου. Ἐκ γὰρ ὀγδοήκοντα πρὸς ταῖς ἑκατῶν νεῶν Ἀττικῶν ὀκτὼ τὰς περισωθείσας παραλαβὼν Κόνων πρὸς Εὐαγόραν κατέφυγεν. (Ἐπιθ. Λυσίαν, Ἀπολογ. Δωροδοκ. Ξενοφ. Ἑλληνικ. Β, α΄. Διόδωρ. Σικελ. ΙΓ, ρς΄. Παυσ. Γ, ια΄.)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐδὲ περὶ ἑνὸς πώποτε πράγματος ἔδοξεν ἄμεινον ἢ
περὶ τούτου βουλεύσασθαι· συνέβη γὰρ αὐτῷ διὰ τὴν 53
ἄφιξιν τὴν εἰς Κύπρον καὶ ποιῆσαι καὶ παθεῖν πλεῖστ'
ἀγαθά. Πρῶτον μὲν γὰρ οὐκ ἔφθασαν ἀλλήλοις πλη-
σιάσαντες καὶ περὶ πλείονος ἐποιήσαντο σφᾶς αὐ-
τοὺς ἢ τοὺς πρότερον[1] οἰκείους ὄντας. Ἔπειτα περί τε
τῶν ἄλλων ὁμονοοῦντες ἅπαντα τὸν χρόνον διετέλε-
σαν καὶ περὶ τῆς ἡμετέρας πόλεως τὴν αὐτὴν γνώμην
εἶχον. Ὁρῶντες γὰρ αὐτὴν ὑπὸ Λακεδαιμονίοις οὖσαν 54
καὶ μεγάλῃ μεταβολῇ κεχρημένην λυπηρῶς καὶ βα-
ρέως ἔφερον, ἀμφότεροι προσήκοντα ποιοῦντες· τῷ μὲν[2]
γὰρ ἦν φύσει πατρίς, τὸν δὲ[3] διὰ πολλὰς καὶ μεγά-
λας εὐεργεσίας νόμῳ πολίτην ἐπεποίηντο. Σκοπουμέ-
νοις δ' αὐτοῖς, ὅπως τῶν συμφορῶν αὐτὴν ἀπαλλάξουσι,
ταχὺν τὸν καιρὸν Λακεδαιμόνιοι παρεσκεύασαν[4]· ἄρ-
χοντες γὰρ τῶν Ἑλλήνων καὶ κατὰ γῆν καὶ κατὰ
θάλατταν εἰς τοῦτ' ἀπληστίας ἦλθον[5], ὥστε καὶ τὴν

1) Ἢ τοὺς πρότερον κτλ.] Ὁ νοῦς τοῦ χωρίου, περὶ πλείονος ἕτερος τὸν ἕτερον ἐποιήσατο, ἢ τοὺς ὄντας ἑαυτῷ πρότερον οἰκείους.

2) Τῷ μὲν] τῷ Κόνωνι.

3) Τὸν δὲ] Τὸν Εὐαγόραν.

4) Τῷ μὲν γὰρ ἦν φύσει πατρίς...Λακεδαιμόνιοι παρεσκεύασαν] διότι εἰς μὲν τὸν Κόνωνα ἦτο ἡ φυσικὴ πατρίς του, τὸν δ' Εὐαγόραν διὰ τὰς πολλὰς καὶ μεγάλας εὐεργεσίας εἶχον πολιτογραφήσει διὰ νόμου. Ἐνῷ δὲ αὐτοὶ ἐσκέπτοντο, πῶς θέλουσι τὴν ἀπολυτρώσει ἀπὸ τῶν δυστυχιῶν, ἐπετάχυναν τὴν κατάλληλον πρὸς τοῦτο εὐκαιρίαν οἱ Λακεδαιμόνιοι.

5) Εἰς τοῦτ' ἀπληστίας ἦλθον] εἰς τοιοῦτον μέγαν βαθμὸν ἀπληστίας κατήντησαν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

55 Ἀσίαν κακῶς ποιεῖν ἐπεχείρησαν[1]. Λαβόντες δ' ἐκεῖνοι τοῦτον τὸν καιρὸν[2] καὶ τῶν στρατηγῶν τῶν βασιλέως ἀπορούντων, ὅ τι χρήσωνται τοῖς πράγμασιν, ἐδίδασκον αὐτοὺς μὴ κατὰ γῆν ἀλλὰ κατὰ θάλατταν ποιεῖσθαι τὸν πόλεμον τὸν πρὸς Λακεδαιμονίους, νομίζοντες, εἰ μὲν πεζὸν στρατόπεδον καταστήσαιντο καὶ τούτῳ περιγένοιντο, τὰ περὶ τὴν ἤπειρον μόνον καλῶς ἕξειν, εἰ δὲ κατὰ θάλατταν κρατήσειαν, ἅπασαν τὴν Ἑλλάδα
56 τῆς νίκης ταύτης μεθέξειν. Ὅπερ συνέβη· πεισθέντων γὰρ ταῦτα τῶν στρατηγῶν καὶ ναυτικοῦ συλλεγέντος Λακεδαιμόνιοι μὲν κατεναυμαχήθησαν[3] καὶ τῆς ἀρχῆς ἀπεστερήθησαν, οἱ δ' Ἕλληνες ἠλευθερώθησαν, ἡ δὲ πόλις ἡμῶν τῆς τε παλαιᾶς δόξης μέρος τι πάλιν ἀνέλαβε[4] καὶ τῶν συμμάχων ἡγεμὼν κατέστη. Καὶ ταῦτ'

1) Τὴν Ἀσίαν κακῶς ποιεῖν ἐπεχείρησαν] ἡ ἐπιχείρησις αὕτη διηυθύνετο ὑπὸ τοῦ Ἀγησιλάου, τὸν ὁποῖον ἡ Σπάρτη μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς νίκην ἔπεμψεν εἰς τὴν Ἀσίαν μετὰ πολυαρίθμων δυνάμεων.

2) Λαβόντες δ' ἐκεῖνοι τοῦτον τὸν καιρὸν] ἐπιτυχόντες δὲ ἐκεῖνοι (ὁ Κόνων καὶ ὁ Εὐαγόρας) ταύτης τῆς εὐκαιρίας.

3) Λακεδαιμόνιοι μὲν κατεναυμαχήθησαν] Ἤδη ἡ Ἑλλὰς συνεμάχει μετὰ τῆς Σπάρτης, ὅταν ὁ Κόνων καὶ ὁ συνάρχων Φαρνάβαζος συναντήσαντες περὶ τὴν Κνίδον ὀγδοήκοντα πέντε Λακεδαιμονίας τριήρεις, τὰς κατεπολέμησαν, συλλαβόντες πεντήκοντα ἐξ αὐτῶν, τὰς δὲ λοιπὰς ἀναγκάσαντες νὰ καταφύγωσιν εἰς τὸν λιμένα τῆς Κνίδου· ἔπειτα προσελθόντες εἰς τὰς συμμάχους τῆς Σπάρτης πόλεις, τὰς ἀπέσπασαν ἀπὸ τῆς συμμαχίας αὐτῶν ἐν ἔτει 393 π. Χ.

4) Πάλιν ἀνέλαβε] πλεονασμός.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπράχθη Κόνωνος μὲν στρατηγοῦντος, Εὐαγόρου δὲ τοῦτό τε παρασχόντος καὶ τῆς δυνάμεως τὴν πλείστην
παρασκευάσαντος. Ὑπὲρ ὧν ἡμεῖς μὲν αὐτοὺς ἐτιμή- 57
σαμεν ταῖς μεγίσταις τιμαῖς καὶ τὰς εἰκόνας αὐτῶν ἐστήσαμεν, οὗπερ τὸ τοῦ Διὸς ἄγαλμα τοῦ σωτῆρος, πλησίον ἐκείνου τε καὶ σφῶν αὐτῶν[1], ἀμφοτέρων ὑπόμνημα[2], καὶ τοῦ μεγέθους τῆς εὐεργεσίας καὶ τῆς φιλίας τῆς πρὸς ἀλλήλους.

(κϐ΄.) Βασιλεὺς[3] δ' οὐ τὴν αὐτὴν γνώμην ἔσχε περὶ αὐτῶν, ἀλλ' ὅσῳ μείζω καὶ πλείονος ἄξια κατειργάσαντο, τοσούτῳ μᾶλλον ἔδεισεν αὐτούς. Περὶ μὲν οὖν Κόνωνος ἄλλος ἡμῖν ἔσται λόγος· ὅτι δὲ πρὸς Εὐαγό-
ραν οὕτως ἔσχεν, οὐδ' αὐτὸς λαθεῖν ἐζήτησεν. Φαίνεται 58
γὰρ μᾶλλον μὲν σπουδάσας περὶ τὸν ἐν Κύπρῳ πόλεμον ἢ περὶ τοὺς ἄλλους ἅπαντας, μείζω δὲ καὶ χαλεπώτερον ἐκεῖνον ἀνταγωνιστὴν νομίσας ἢ Κῦρον τὸν περὶ τῆς βασιλείας ἀμφισβητήσαντα[4]. Μέγιστον δὲ τε-

1) Πλησίον ἐκείνου τε καὶ σφῶν αὐτῶν] πλησίον τοῦ Διὸς τοῦ σωτῆρος καὶ ἀλλήλων.

2) Ὑπόμνημα] Σημεῖον πρὸς ἐνθύμησιν, τεκμήριον, ἐνθύμησις. Ξενοφ. Ἀπομν. 1, 6, 3. «Ἐνῆν ἐν τῇ ἐπιστολῇ τῆς πρόσθεν φιλίας ὑπομνήματα.»

3) Βασιλεὺς] Ὁ βασιλεὺς Ἀρταξέρξης ὁ Μνήμων.

4) Κῦρον τὸν περὶ τῆς βασιλείας ἀμφισβητήσαντα] Κῦρος, ὁ ἐπονομαζόμενος ὁ νέος, υἱὸς Δαρείου τοῦ Νόθου καὶ ἀδελφὸς Ἀρταξέρξου τοῦ Μνήμονος συνήθροισε στρατὸν κατὰ τοῦ ἀδελφοῦ του ἐπὶ σκοπῷ νὰ τὸν ἐκθρονίσῃ καὶ βασιλεύσῃ αὐτός, ἀλλ' ἐνικήθη εἰς Κούναξα πλησίον τῆς Βαϐυλῶνος καὶ ἐφονεύθη ὑπ' αὐτοῦ τούτου τοῦ ἀδελφοῦ του ἐν ἔτει 401 π. Χ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κμήριον· τοῦ μὲν γὰρ[1] ἀκούων τὰς παρασκευὰς τοσοῦτον κατεφρόνησεν, ὥστε διὰ τὸ μὴ φροντίζειν μικροῦ δεῖν ἔλαθεν αὐτὸν[2] ἐπὶ τὸ βασίλειον ἐπιστάς· πρὸς δὲ τοῦτον οὕτως ἐκ πολλοῦ περιδεῶς ἔσχεν[3], ὥστε μεταξὺ πάσχων εὖ[4] πολεμεῖν πρὸς αὐτὸν ἐπεχείρησε, δίκαια μὲν οὐ ποιῶν, οὐ μὴν παντάπασιν ἀλόγως βουλευσάμε-
59 νος. Ἠπίστατο μὲν γὰρ πολλοὺς καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐκ ταπεινῶν καὶ φαύλων[5] πραγμάτων μεγάλας δυναστείας κατεργασαμένους, ᾐσθάνετο δὲ τὴν Εὐαγόρου μεγαλοψυχίαν καὶ τὰς ἐπιδόσεις αὐτῷ καὶ τῆς δόξης καὶ τῶν πραγμάτων οὐ κατὰ μικρὸν γιγνομένας ἀλλὰ καὶ τὴν φύσιν ἀνυπέρβλητον ἔχοντα καὶ τὴν τύχην αὐτῷ συναγωνιζομένην[6]· ὥστ᾽ οὐχ ὑπὲρ

1) Τοῦ μὲν γὰρ] Κύρου, τοῦ ἀδελφοῦ.

2) Ἔλαθεν αὐτὸν] Ὁ Κῦρος τὸν ἀδελφὸν αὐτοῦ καὶ βασιλέα Ἀρταξέρξην ἔλαθεν ἐπιστὰς ἐπὶ τὸ βασίλειον, τουτέστιν ἔφθη παραγενόμενος, πρὶν ἐκεῖνον εἰδῆσαι.

3) Ἐκ πολλοῦ περιδεῶς ἔσχεν] ἀπὸ πολλοῦ χρόνου τοσοῦτον φόβον ἔδειξεν.

4) Μεταξὺ πάσχων εὖ] Ἐν αὐτῷ τῷ χρόνῳ, ἐν ᾧ ὠφελεῖτο ὑπ᾽ Εὐαγόρου. Καὶ σημείωσε τοῦ χρονικοῦ μεταξὺ τὴν συγγένειαν μετὰ τῆς, μετά, προθέσεως, παρ᾽ ἣν καὶ προσήλως γέγονεν· οὕτω γὰρ κἀκείνη χρόνον πολλάκις δηλοῖ, οἷόν ἐστι τὸ, μεθ᾽ ἡμέραν. Ἡ δὲ συνήθεια τῷ μὲν, μεταξὺ, σπανίως κέχρηται· σύνθετον δὲ σχηματίσασα τὸ, ἀναμεταξὺ, καὶ τυπικῶς καὶ χρονικῶς ἐκλαμβάνει, οἷον, ἀναμεταξὺ εἰς τοὺς δύο, ἀντὶ τοῦ παρὰ τοῖς ἀρχαίοις, μεταξὺ τῶν δύο, καὶ, εἰς τοῦτο τὸ ἀναμεταξὺ, ἀντὶ τοῦ, Μεταξὺ, ἤγουν, Ἐν τούτῳ τῷ χρόνῳ.

5) Φαύλων] εὐτελῶν.

6) Ἠσθάνετο δὲ τὴν Εὐαγόρου. . . .συναγωνιζομένην] ἐγνώριζε δὲ τὴν ἡρωϊκὴν ψυχὴν τοῦ Εὐαγόρου καὶ ὅτι εἰς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶν γεγενημένων ὀργιζόμενος ἀλλὰ περὶ τῶν μελλόν- 60
των φοβούμενος, οὐδὲ περὶ Κύπρου μόνον δεδιὼς ἀλλὰ πολὺ περὶ μειζόνων[1] ἐποιήσατο τὸν πόλεμον πρὸς αὐτόν[2]. Οὕτω δ' οὖν ὥρμησεν, ὥστ' εἰς τὴν στρατείαν ταύτην πλέον ἢ τάλαντα πεντακισχίλια καὶ μύρια κατηνάλωσεν. (κγ'.) Ἀλλ' ὅμως Εὐαγόρας πάσαις ἀπο- 61
λελειμμένος ταῖς δυνάμεσιν, ἀντιτάξας τὴν αὑτοῦ γνώμην πρὸς τὰς οὕτως ὑπερμεγέθεις παρασκευάς, ἐπέδειξεν αὑτὸν ἐν τούτοις πολὺ θαυμαστότερον ἢ τοῖς ἄλλοις τοῖς προειρημένοις. Ὅτε μὲν γὰρ αὐτὸν εἴων εἰρήνην ἄγειν[3], τὴν αὑτοῦ πόλιν μόνην εἶχεν· ἐπειδὴ δ' 62
ἠναγκάσθη πολεμεῖν, τοιοῦτος ἦν καὶ τοιοῦτον εἶχε Πνυταγόραν[4] τὸν υἱὸν τὸν αὑτοῦ συναγωνιστήν, ὥστε μικροῦ μὲν ἐδέησε Κύπρον ἅπασαν κατασχεῖν, Φοινίκην δ' ἐπόρθησε, Τύρον δὲ κατὰ κράτος εἷλε[5], Κιλι-

αὐτὸν αἱ πρόοδοι τῆς δόξης καὶ τῶν πραγμάτων δὲν ἐγίνοντο ὀλίγον κατ' ὀλίγον, ἀλλ' ὅτι καὶ τὴν μεγαλοφυΐαν εἶχε μεγίστην, καὶ ἡ τύχη τὸν ἐβοήθει.

1) Πολὺ περὶ μειζόνων] Ὁ Ἰσοκράτης ὑπαινίττεται ἀναμφιβόλως ἐνταῦθα τὴν ἀποστασίαν τῆς Κιλικίας, τὴν ἅλωσιν τῆς Τύρου καὶ ἄλλων πόλεων τῆς Φοινίκης.

2) Πρὸς αὐτὸν] ἐναντίον αὐτοῦ.

3) Ὅτε μὲν γὰρ . . . . ἄγειν] διότι, ὅτε μὲν ἄφινον αὐτὸν νὰ ζῇ ἐν εἰρήνῃ.

4) Πνυταγόραν] Τὸν Νικοκλέους ἀδελφόν. Τοῦτον ὁ μὲν Θεόπομπος (παρὰ τῷ Φωτίῳ κωδ. ροϛ'.) Πνυταγόραν, Διόδωρος δὲ ὁ Σικελιώτης, Πυθαγόραν, καλεῖ.

5) Κατὰ κράτος εἷλε] «πόλιν ἑλεῖν κατὰ κράτος» = νὰ πάρῃ τις πόλιν μὲ ἔφοδον, μὲ βίαν, μὲ τὸ σπαθὶ 'στὸ χέρι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κίαν δὲ βασιλέως ἀπέστησε, τοσούτους δὲ τῶν πολεμίων ἀπώλεσεν ὥστε πολλοὺς Περσῶν πενθοῦντας τὰς
63 αὐτῶν συμφορὰς μεμνῆσθαι τῆς ἀρετῆς τῆς ἐκείνου· τελευτῶν[1] δ' οὕτως ἐνέπλησεν αὐτοὺς τοῦ πολεμεῖν[2], ὥστ' εἰθισμένων τὸν ἄλλον χρόνον τῶν βασιλέων μὴ διαλλάττεσθαι τοῖς ἀποστᾶσι, πρὶν κύριοι γένοιντο τῶν σωμάτων, ἄσμενοι τὴν εἰρήνην ἐποιήσαντο, λύσαντες μὲν τὸν νόμον τοῦτον, οὐδὲν δὲ κινήσαντες τῆς Εὐα-
64 γόρου τυραννίδος[3]. Καὶ Λακεδαιμονίων μὲν τῶν καὶ δόξαν καὶ δύναμιν μεγίστην ἐχόντων κατ' ἐκεῖνον τὸν χρόνον ἐντὸς τριῶν ἐτῶν ἀφείλετο τὴν ἀρχήν, Εὐαγόρᾳ δὲ πολεμήσας ἔτη δέκα τῶν αὐτῶν κύριον αὐτὸν κατέλιπεν, ὧνπερ ἦν καὶ πρὶν εἰς τὸν πόλεμον εἰσελθεῖν. Ὃ δὲ πάντων δεινότατον[4]· τὴν γὰρ[5] πόλιν, ἣν Εὐαγόρας ἑτέρου τυραννοῦντος μετὰ πεντήκοντ' ἀνδρῶν εἷλε, ταύτην βασιλεὺς ὁ μέγας τοσαύτην δύναμιν ἔχων οὐχ οἷός τ' ἐγένετο χειρώσασθαι[6].

1) Τελευτῶν] αἱ μετοχαὶ τελευτῶν καὶ ἀρχόμενος κεῖνται συχνὰ ἀντὶ ἐπιρρ. = τελευταῖον, τέλος, ἐν τέλει, ἐν ἀρχῇ.

2) Ἐνέπλησεν αὐτοὺς τοῦ πολεμεῖν] παρὰ τὸ Ὁμηρικὸν Ἰλιάδ. Τ. 423, ..... «Πρὶν Τρῶας ἅδην ἐλάσαι πολέμοιο.»

3) Μὴ διαλλάττεσθαι τοῖς ἀποστᾶσι, ... τῆς Εὐαγόρου τυραννίδος] νὰ μὴ συμφιλιόνωνται μὲ τοὺς ἀποστάτας πρὶν ἢ τοὺς συλλάβωσι ζῶντας, εὐχαρίστως ἔκλεισαν εἰρήνην, ἀφοῦ τὴν μὲν συνήθειαν ταύτην κατήργησαν, οὐδόλως δὲ μετέβαλον τὴν βασιλείαν τοῦ Εὐαγόρου.

4) Ὃ δὲ πάντων δεινότατον] τὸ πλέον δὲ παράξενον ἐξ ὅλων εἶναι.

5) Τὴν γὰρ πόλιν] ἐπεξηγηματικὸς ὁ γάρ.

6) Χειρώσασθαι] Χειρόο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

(κδ΄.) Καίτοι πῶς ἄν τις τὴν ἀνδρίαν ἢ τὴν φρόνη- 65
σιν ἢ σύμπασαν τὴν ἀρετὴν τὴν Εὐαγόρου φανερώτε-
ρον ἐπιδείξειεν ἢ διὰ τοιούτων ἔργων καὶ κινδύνων;
Οὐ γὰρ μόνον φανεῖται τοὺς ἄλλους πολέμους ἀλλὰ
καὶ τὸν τῶν ἡρώων ὑπερβαλόμενος, τὸν ὑπὸ πάντων
ἀνθρώπων ὑμνούμενον. Οἱ μὲν γὰρ μεθ' ἁπάσης τῆς
Ἑλλάδος Τροίαν μόνον εἷλον, ὁ δὲ μίαν πόλιν ἔχων
πρὸς ἅπασαν τὴν Ἀσίαν ἐπολέμησεν[1]· ὥστ' εἰ τοσοῦ-
τοι τὸ πλῆθος ἐγκωμιάζειν αὐτὸν ἠβουλήθησαν, ὅσοι
περ ἐκείνους, πολὺ ἂν μείζω καὶ τὴν δόξαν αὐτῶν
ἔλαβεν. (κε΄.) Τίνα γὰρ εὑρήσομεν τῶν τότε[2] γενομέ- 66
νων, εἰ τοὺς μύθους ἀφέντες τὴν ἀλήθειαν σκοποῖμεν,
τοιαῦτα διαπεπραγμένον, ἢ τίνα τοσούτων μεταβολῶν
ἐν τοῖς πράγμασιν αἴτιον γεγενημένον; ὃς αὑτὸν μὲν
ἐξ ἰδιώτου τύραννον κατέστησε, τὸ δὲ γένος ἅπαν ἀπε-
ληλαμένον[3] τῆς πολιτείας εἰς τὰς προσηκούσας τιμὰς

μαι μεσ. Καταδυναστεύω, καθυποτάσσω, νικῶ, κυριεύω μὲ βίαν χώραν ἢ πόλιν τινά, μετὰ αἰτχ. πολλχ. παρ' Ἡροδτ· ἀλλὰ καὶ παρὰ Σοφκλ. Φιλ. 92 ἔκδ. Νεοφτ. Δούκα· μετὰ παθητ. ἀορ. χειρωθῆναι. Ἡροδτ. 3, 120. 4, 96. 5, 16 καὶ ἀλλχ. πανταχοῦ δὲ κατὰ παρασημασίαν βιαίας, δυναστικῆς πράξεως· οὐ χοῖός τ' ἐγένετο χειρώσασθαι = δὲν ὑπῆρξεν (ἐστάθη) ἱκανὸς νὰ καθυποτάξῃ.

1) Οἱ μὲν γὰρ ... τὴν Ἀσίαν ἐπολέμησεν] ἐπειδὴ οἱ μὲν ἥρωες, συμπράξει πάντων τῶν Ἑλλήνων τὴν Τρῳάδα μόνην ἐκυρίευσαν· ὁ δὲ Εὐαγόρας, ἂν καὶ εἶχε μίαν μόνην πόλιν, ἐπολέμησε καθ' ὅλης ἀνεξαιρέτως τῆς Ἀσίας.

2) Τῶν τότε] τῶν κατὰ τοὺς Τρωϊκοὺς χρόνους.

3) Ἀπεληλαμένον] ἀπελαύνομαι = ἀποκλείομαι, ἀποδιώκομαι· ἐν γένει εἶμαι μακρὰν ἀπό τι· μετὰ γενικ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πάλιν ἐπανήγαγε[1], τοὺς δὲ πολίτας ἐκ βαρβάρων μὲν
67 Ἕλληνας ἐποίησεν[2], ἐξ ἀνάνδρων δὲ πολεμικούς, ἐξ ἀδόξων δ' ὀνομαστούς, τὸν δὲ τόπον ἄμικτον ὅλον παραλαβὼν καὶ παντάπασιν ἐξηγριωμένον ἡμερώτερον καὶ πρᾳότερον κατέστησεν, ἔτι δὲ πρὸς τούτοις εἰς ἔχθρὰν μὲν βασιλεῖ καταστὰς οὕτως αὐτὸν ἠμύνατο καλῶς ὥστ' ἀείμνηστον γεγενῆσθαι τὸν πόλεμον τὸν περὶ Κύπρον, ὅτε δ' ἦν αὐτῷ σύμμαχος, τοσούτῳ χρησιμώτε-
68 ρον αὐτὸν παρέσχε τῶν ἄλλων ὥσθ' ὁμολογουμένως μεγίστην αὐτῷ συμβαλέσθαι δύναμιν εἰς τὴν ναυμαχίαν τὴν περὶ Κνίδον, ἧς γενομένης βασιλεὺς μὲν ἁπάσης τῆς Ἀσίας κύριος κατέστη, Λακεδαιμόνιοι δ' ἀντὶ

1) Ὃς αὐτὸν μὲν ἐξ ἰδιώτου...ἐπανήγαγε] ὁ ὁποῖος ἀπὸ ἁπλοῦ μὲν πολίτου ἀνέδειξε τὸν ἑαυτόν του βασιλέα, ἐπανέφερε δὲ πάλιν εἰς τὰς πρεπούσας τιμὰς ὅλην ἀνεξαιρέτως τὴν γενεάν του, ἥτις ἦτο ἀποδεδιωγμένη ἀπὸ τῆς διοικήσεως τῶν πραγμάτων.

2) Ἐκ βαρβάρων μὲν Ἕλληνας ἐποίησεν] Βάρβαρος· ὅποιος δὲν εἶναι Ἕλλην, ἀλλὰ ξένος, ὡς μαρτυρεῖ καὶ τὸ κοινὸν τῶν Ἑλλήνων ἀξίωμα· «Πᾶς μὴ Ἕλλην βάρβαρος.» Ἡ λέξις βάρβαρος ἀντίκειται τῇ Ἕλλην. Κατὰ τὸν Πλάτωνα (Πολιτ. Σ. 262) ὅλον τὸ ἀνθρώπινον γένος ἦτο διῃρημένον εἰς δύο ἄνισα μέρη, εἰς Βαρβάρους καὶ Ἕλληνας· καὶ μόνον ἀπὸ τῆς ἐποχῆς τῶν Περσικῶν πολέμων ἔλαβεν ἡ λέξις καὶ σημασίαν καταφρονητικοῦ καὶ μισητοῦ, ἤγουν τὴν σημασίαν τοῦ, ἀνελεύθερος, δουλικός, δειλός, μὴ γενναῖος, ὠμός· καὶ ἔκτοτε ὠνομάζοντο κατ' ἐξοχὴν οἱ Πέρσαι βάρβαροι. Κυρίως ἦτο ἐν χρήσει ἡ λέξις αὕτη ἐπὶ τυραννικῆς ἐξουσίας καὶ δουλικῆς ὑποταγῆς, ἐπὶ δειλίας, τρυφῆς, ὠμότητος, ἀνελευθεριότητος κατά τε πνεῦμα καὶ σῶμα, κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦ τὴν ἤπειρον[1] πορθεῖν[2] περὶ τῆς αὑτῶν κινδυνεύειν ἠναγκάσθησαν, οἱ δ᾽ Ἕλληνες ἀντὶ δουλείας αὐτονομίας ἔτυχον, Ἀθηναῖοι δὲ τοσοῦτον ἐπέδοσαν ὥστε τοὺς πρότερον αὐτῶν ἄρχοντας ἐλθεῖν αὐτοῖς τὴν ἀρχὴν δώσοντας. (κϛ΄.) Ὥστ᾽ εἴ τις ἔροιτό με, τί νομίζω μέγι- 69
στον εἶναι τῶν Εὐαγόρᾳ πεπραγμένων, πότερον τὰς ἐπιμελείας καὶ τὰς παρασκευὰς τὰς πρὸς Λακεδαιμονίους, ἐξ ὧν τὰ προειρημένα γέγονεν, ἢ τὸν τελευταῖον πόλεμον[3], ἢ τὴν κατάληψιν τῆς βασιλείας, ἢ τὴν ὅλην τῶν πραγμάτων διοίκησιν, εἰς πολλὴν ἀπορίαν ἂν κατασταίην· ἀεὶ γάρ μοι δοκεῖ μέγιστον εἶναι καὶ θαυμαστότατον, καθ᾽ ὅ τι ἂν αὐτῶν ἐπιστήσω τὴν διάνοιαν[4].

(κζ΄.) Ὥστ᾽ εἴ τινες τῶν προγεγενημένων δι᾽ ἀρετὴν 70
ἀθάνατοι γεγόνασιν, οἶμαι κἀκεῖνον ἠξιῶσθαι ταύτης τῆς δωρεᾶς[5], σημείοις χρώμενος[6], ὅτι καὶ τὸν ἐνθάδε

1) Τὴν ἤπειρον] Τὴν Ἀσίαν, ὧδε, ἢ μᾶλλον τῆς Ἀσίας τὴν ὑπὸ τῷ Περσῶν βασιλεῖ τελοῦσαν.

2) Λακεδαιμόνιοι δὲ ἀντὶ τοῦ τὴν ἤπειρον πορθεῖν] οἱ Λακεδαιμόνιοι νικηθέντες ἐν τῇ περὶ τὴν Κνίδον ναυμαχίᾳ εἶχον ἀνακαλέσει τῷ ὄντι ἀπὸ τῆς Ἀσίας τὸν Ἀγησίλαον διὰ νὰ στερεώσῃ ἐν Πελοποννήσῳ τὴν ἐξουσίαν των κλονηθεῖσαν ἐκ τῆς ἥττης ἐκείνης.

3) Ἢ τὸν τελευταῖον πόλεμον] Ὑπαινίττεται τὴν πολιορκίαν τῆς Σαλαμῖνος ὑπὸ τοῦ Ὀρόντου καὶ Τηριβάζου.

4) Καθ᾽ ὅτι ἂν αὐτῶν ἐπιστήσω τὴν διάνοιαν] Καθ᾽ ὅ,τι ἂν πρῶτον γένωμαι τῷ λογισμῷ καὶ προσέξω τὸν νοῦν.

5) Δωρεᾶς] δηλ. τῆς ἀθανασίας, ὡς ὁ Ἡρακλῆς, ὁ Κάστωρ καὶ Πολυδεύκης καὶ ἄλλοι πολλοὶ ἥρωες.

6) Σημείοις χρώμενος] μεταχειριζόμενος ἀποδείξεις.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χρόνον εὐτυχέστερον καὶ θεοφιλέστερον[1] ἐκείνων διαβεβίωκεν. Τῶν μὲν γὰρ ἡμιθέων τοὺς πλείστους καὶ τοὺς ὀνομαστοτάτους εὑρήσομεν ταῖς μεγίσταις συμφοραῖς περιπεσόντας, Εὐαγόρας δ' οὐ μόνον θαυμαστότατος ἀλλὰ καὶ μακαριστότατος ἐξ ἀρχῆς ὢν διετέλεσεν.
71 (κη'.) Τί γὰρ ἀπέλιπεν εὐδαιμονίας[2], ὃς τοιούτων μὲν προγόνων ἔτυχεν, οἵων οὐδεὶς ἄλλος, πλὴν εἴ τις ἀπὸ τῶν αὐτῶν ἐκείνῳ γέγονεν, τοσοῦτον δὲ καὶ τῷ σώματι καὶ τῇ γνώμῃ[3] τῶν ἄλλων διήνεγκεν ὥστε μὴ μόνον Σαλαμῖνος ἀλλὰ καὶ τῆς Ἀσίας ἁπάσης ἄξιος εἶναι τυραννεῖν, κάλλιστα δὲ κτησάμενος τὴν βασιλείαν ἐν ταύτῃ τὸν βίον διετέλεσε, θνητὸς δὲ γενόμενος ἀθάνατον τὴν περὶ αὐτοῦ μνήμην κατέλιπε, τοσοῦτον δ' ἐβίω χρόνον ὥστε μήτε τοῦ γήρως ἄμοιρος γενέσθαι μήτε τῶν νόσων μετασχεῖν τῶν διὰ ταύτην
72 τὴν ἡλικίαν γιγνομένων[4]. Πρὸς δὲ τούτοις, ὃ δοκεῖ σπανιώτατον εἶναι καὶ χαλεπώτατον, εὐπαιδίας τυχεῖν

1) Θεοφιλέστερον] παθητικῶς ἐνταῦθα, ἀντὶ τοῦ μᾶλλον ὑπὸ θεοῦ φιλούμενον.

2) Τί γὰρ ἀπέλιπεν εὐδαιμονίας] Ἡ δὲ συνήθεια ἀνεστραμμένως ποία εὐτυχία τοῦ ἔλειψε: Φαμὲν δὲ καὶ πρὸς μεμψίμοιρον τὸν λόγον ποιούμενοι, τί σοῦ λείπει;

3) Τῷ σώματι καὶ τῇ γνώμῃ] τῷ σώματι δηλ. τοῦ σώματος τῷ κάλλει καὶ τῇ ῥώμῃ—καὶ τῇ γνώμῃ ἐντθ. τὸν νοῦν, ἢ τὴν ψυχὴν λέγει.

4) Τῶν διὰ ταύτην τὴν ἡλικίαν γιγνομένων] Καὶ ὁ Ῥόδιος κωμικὸς ποιητὴς Ἀντιφάνης λέγει· «πρὸς γὰρ τὸ γῆρας, ὥσπερ ἐργαστήριον, ἅπαντα τἀνθρώπεια προσφοιτᾷ κακά.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἅμα καὶ πολυπαιδίας, οὐδὲ τούτου διήμαρτεν[1], ἀλλὰ καὶ τοῦτ' αὐτῷ συνέπεσεν[2]. Καὶ τὸ μέγιστον, ὅτι τῶν ἐξ αὐτοῦ γεγονότων οὐδὲν κατέλιπεν ἰδιωτικοῖς ὀνόμασι προσαγορευόμενον, ἀλλὰ τὸν μὲν[3] βασιλέα καλούμενον, τοὺς δ' ἄνακτας, τὰς δ' ἀνάσσας[4]. Ὥστ' εἴ τινες τῶν ποιητῶν περί τινος τῶν προγεγενημένων ὑπερβολαῖς κέχρηνται, λέγοντες, ὡς ἦν θεὸς ἐν ἀνθρώποις ἢ δαίμων[5]

1) Πρὸς δὲ τούτοις..... οὐδὲ τούτου διήμαρτεν] πρὸς δὲ τούτοις, ὅπερ φαίνεται, ὅτι εἶναι πολὺ σπάνιον καὶ πολὺ δύσκολον πρᾶγμα, ἤτοι τὸ ν'ἀποκτήσῃ τις ἐν ταὐτῷ καλὰ καὶ πολλὰ τέκνα, οὐδὲ τούτου ἀπέτυχεν.

2) Συνέπεσεν] συνέβη.

3) Τὸν μὲν] τὸν Νικοκλέα.

4) Τοὺς δ' ἄνακτας, τὰς δ' ἀνάσσας] Τῶν δὲ τοῦ Νικοκλέους ἀδελφῶν, τοὺς μὲν ἄρρενας ἄνακτας, τὰς θηλείας δὲ, ἀνάσσας. Σημείωσαι δὲ ὅτι, ὅπερ ἐστὶ νῦν κοινῶν τῶν ἁπάντων. ὡς εἰπεῖν, τῶν κατὰ τὴν Εὐρώπην βασιλευόντων υἱοῖς ἢ ἀδελφοῖς, ἄναξι (Principi), καὶ ταῖς γυναιξὶν ἢ θυγατράσιν ἢ ἀδελφαῖς, ἀνάσσαις (Principesse) καλεῖσθαι, τοῦτο πάλαι Κυπρίοις ἴδιον ὑπῆρχεν, ὡς Ἀριστοτέλης ἐν τῇ Κυπρίων πολιτείᾳ παραδέδωκε (παρὰ τῷ Ἁρποκρατ. λεξ. Ἄνακτες) λέγων, «Οἱ μὲν υἱοὶ καὶ ἀδελφοὶ τοῦ βασιλέως καλοῦνται ἄνακτες, αἱ δὲ ἀδελφαὶ καὶ γυναῖκες, ἄνασσαι.

5) Εἴ τινες τῶν ποιητῶν ... ὡς ἦν θεὸς ἐν ἀνθρώποις ἢ δαίμων, κ.τ.λ.] Τὸν Ὅμηρον αἰνίττεναι, εἰπόντα περὶ τοῦ Ἕκτορος (Ἰλιαδ. Ω, 258), «Ἕκτορα θ', ὃς θεὸς ἔσκε μετ' ἀνδράσιν, οὐδὲ ἐῴκενι — ἀνδρός γε θνητοῦ παῖς ἔμμεναι, ἀλλὰ θεοῖο.» Διαφέρουσι δὲ θεῶν δαίμονες, τῷ τοὺς μὲν, δώδεκα τὸν ἀριθμὸν ὄντας, κυρίως θεοὺς εἶναι, καὶ Μεγάλους θεοὺς λέγεσθαι· τοὺς δὲ δαίμονας, τρισμυρίους τὸν ἀριθμὸν, ὥς φησιν Ἡσίοδος, φύσιν ἔχειν μεταξὺ θεῶν καὶ ἀνθρώπων. Τρίτοι δὲ παρὰ τούτοις ἦσαν οἱ καλούμενοι Ἡμίθεοι, ἢ Ἥρωες, τουτέστιν οἱ γεγονότες ἐκ θεοῦ καὶ θνητῆς, ἢ ἐκ θνητοῦ καὶ θεᾶς, καὶ μετὰ θάνατον εἰς θεοὺς ἀναγόμενοι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θνητὸς, ἅπαντα τὰ τοιαῦτα περὶ τὴν ἐκείνου[1] φύσιν ῥηθῆναι μάλιστ' ἂν ἁρμόσειεν.

73 (κθ'.) Τῶν μὲν οὖν εἰς Εὐαγόραν[2] πολλὰ μὲν οἶμαι παραλιπεῖν· ὑστερίζω γὰρ τῆς ἀκμῆς τῆς ἐμαυτοῦ, μεθ' ἧς ἀκριβέστερον καὶ φιλοπονώτερον ἐξειργασάμην ἂν τὸν ἔπαινον τοῦτον· οὐ μὴν ἀλλὰ καὶ νῦν, ὅσον κατὰ τὴν ἐμὴν δύναμιν, οὐκ ἀνεγκωμίαστός ἐστιν. (λ'.) Ἐγὼ δ', ὦ Νικόκλεις, ἡγοῦμαι καλὰ μὲν εἶναι μνημεῖα καὶ τὰς τῶν σωμάτων εἰκόνας, πολὺ μέντοι πλείονος ἀξίας τὰς τῶν πράξεων καὶ τῆς διανοίας, ἃς ἐν τοῖς λόγοις ἄν τις μόνον τοῖς τεχνικῶς ἔχουσι θεωρήσειεν.
74 Προκρίνω δὲ ταύτας πρῶτον μὲν εἰδὼς τοὺς καλοὺς κἀγαθοὺς τῶν ἀνδρῶν οὐχ οὕτως ἐπὶ τῷ κάλλει τοῦ σώματος σεμνυνομένους ὡς ἐπὶ τοῖς ἔργοις καὶ τῇ γνώμῃ φιλοτιμουμένους· ἔπειθ' ὅτι τοὺς μὲν τύπους[3] ἀναγκαῖον παρὰ τούτοις εἶναι μόνοις, παρ' οἷς ἂν σταθῶσι, τοὺς δὲ λόγους ἐξενεχθῆναί θ' οἷόν τ' ἐστὶν εἰς τὴν Ἑλλάδα καὶ διαδοθέντας ἐν ταῖς τῶν εὖ φρονούντων διατριβαῖς ἀγαπᾶσθαι[4], παρ' οἷς κρεῖττόν ἐστιν ἢ

1) Περὶ τὴν ἐκείνου κ.τ.λ.] Σημειωτέα ἡ σύνταξις, ἀντὶ τοῦ, περὶ τῆς ἐκείνου φύσεως.

2) Εἰς Εὐαγόραν] Κατ' ἔλλειψιν τοῦ, ἀνηκόντων, ἤ τινος ἑτέρου τοιούτου.

3) Τοὺς μὲν τύπους] τὰς εἰκόνας.

4) Ἀγαπᾶσθαι] θαυμάζεσθαι, ἐπαινεῖσθαι, ἀποδοχῆς ἀξιοῦσθαι· καὶ δῆλον ἐντεῦθεν, ὅτι ἐκ τοῦ αὐτοῦ θεματικοῦ τοῦ ἀγάω γεγόνασι τό τε ἄγαμαι (τὸ θαυμάζω) καὶ τὸ παρ' Ὁμήρῳ ἀγαπάζω (τὸ περιπτύσσομαι) καὶ τὸ κοινὸν, ἀγαπάω, ὅπερ εἰκότως εἰς τὴν σημασίαν τοῦ φιλῶ μετέπεσεν· ἃ γὰρ φιλοῦμεν, ἐκεῖνα καὶ θαυμάζειν εἰώθαμεν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παρὰ τοῖς ἄλλοις ἅπασιν εὐδοκιμεῖν· πρὸς δὲ τούτοις 75
ὅτι τοῖς μὲν πεπλασμένοις καὶ τοῖς γεγραμμένοις[1] οὐδεὶς ἂν τὴν τοῦ σώματος φύσιν ὁμοιώσειε, τοὺς δὲ τρόπους τοὺς ἀλλήλων καὶ τὰς διανοίας τὰς ἐν τοῖς λεγομένοις ἐνούσας ῥᾴδιόν ἐστι μιμεῖσθαι τοῖς μὴ ῥᾳθυμεῖν αἱρουμένοις ἀλλὰ χρηστοῖς εἶναι βουλομένοις. (λά.) 76
Ὧν ἕνεκα καὶ μᾶλλον ἐπεχείρησα γράφειν τὸν λόγον τοῦτον, ἡγούμενος καὶ σοὶ καὶ τοῖς σοῖς παισὶ καὶ τοῖς ἄλλοις τοῖς ἀπ' Εὐαγόρου γεγονόσι πολὺ καλλίστην ἂν γενέσθαι ταύτην παράκλησιν[2], εἴ τις ἀθροίσας τὰς ἀρετὰς τὰς ἐκείνου καὶ τῷ λόγῳ κοσμήσας παραδοίη θεωρεῖν[3] ὑμῖν καὶ συνδιατρίβειν αὐταῖς[4]. Τοὺς μὲν 77
γὰρ ἄλλους προτρέπομεν ἐπὶ τὴν φιλοσοφίαν ἑτέρους[5] ἐπαινοῦντες, ἵνα ζηλοῦντες τοὺς εὐλογουμένους[6] τῶν

1) Τοῖς μὲν πεπλασμένοις καὶ τοῖς γεγραμμένοις] τοῖς ἐκ πηλοῦ πεποιημένοις, καὶ τοῖς διὰ χρωμάτων μεμιμημένοις. Ὁ δὲ νοῦς τοῦ ὅλου χωρίου. Οὐδεὶς ἂν πεπλασμένον ἢ γεγραμμένον ἰδὼν ἄνδρα, πρὸς ἐκεῖνον τὸ ἑαυτοῦ σῶμα ὁμοιώσειεν, οἷον εἴ τις Ἡρακλέους ἀνδριάντα ἀκριβῶς θεωρήσειε καὶ κατασκέψαιτο, οὐκ ἂν Ἡρακλέους ῥώμην προσκτήσαιτο, ἄρρωστος ὢν αὐτὸς τῷ σώματι· οἱ δὲ μὴ ῥᾳθυμεῖν, ἀλλ' εἶναι χρηστοὶ βουλόμενοι, ῥᾳδίως ἂν ἐκ τῆς ἀκοῆς τῶν ἐπαίνων τούτων μιμήσαιντο τοὺς ἀλλήλων τρόπους, καὶ τὰς διανοίας τὰς ἐνυπαρχούσας ἐν τοῖς λεγομένοις, τουτέστι τὰς διὰ τῶν λεγομένων φανερὰς γιγνομένας.

2) Ταύτην παράκλησιν] προτροπὴν ἐπὶ τὴν Εὐαγόρου μίμησιν.

3) Θεωρεῖν] ὡς εἰκόνα.

4) Συνδιατρίβειν αὐταῖς] ἀναγινώσκειν αὐτάς.

5) Ἑτέρους] Μηδὲν ἐκείνοις προσήκοντας, ἀλλοτρίους.

6) Τοὺς εὐλογουμένους] τοὺς ἐπαινουμένους.



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτῶν ἐκείνοις ἐπιτηδευμάτων ἐπιθυμῶσιν, ἐγὼ δὲ σὲ καὶ τοὺς σοὺς οὐκ ἀλλοτρίοις παραδείγμασι[1] χρώμενος ἀλλ᾽οἰκείοις παρακαλῶ, καὶ συμβουλεύω προσέχειν
78 τὸν νοῦν, ὅπως καὶ λέγειν καὶ πράττειν μηδενὸς ἧττον δυνήσει τῶν Ἑλλήνων (λϐ΄.) Καὶ μὴ νόμιζέ με καταγιγνώσκειν, ὡς νῦν ἀμελεῖς, ὅτι πολλάκις σοι διακελεύομαι[2] περὶ τῶν αὐτῶν. Οὐ γὰρ οὔτ᾽ἐμὲ λέληθας οὔτε τοὺς ἄλλους, ὅτι καὶ πρῶτος καὶ μόνος τῶν ἐν τυραννίδι καὶ πλούτῳ καὶ τρυφαῖς ὄντων φιλοσοφεῖν καὶ πονεῖν ἐπικεχείρηκας, οὐδ᾽ ὅτι πολλοὺς τῶν βασιλέων ποιήσεις ζηλώσαντας τὴν σὴν παίδευσιν τούτων τῶν διατριβῶν ἐπιθυμεῖν, ἀφεμένους ἐφ᾽ οἷς νῦν
79 λίαν χαίρουσιν. Ἀλλ᾽ὅμως ἐγὼ ταῦτ᾽ εἰδὼς οὐδὲν ἧττον καὶ ποιῶ καὶ ποιήσω ταὐτὸν, ὅπερ[3] ἐν τοῖς γυμνικοῖς ἀγῶσιν[4] οἱ θεαταί· καὶ γὰρ ἐκεῖνοι παρακε-

1) Οὐκ ἀλλοτρίοις παραδείγμασι κ.τ.λ.] Συνεχῶς τοῦτο τοῖς Ἑλληνικοῖς μειρακίοις, οἷον ἐπῳδήν τινα, ἐπᾴδειν ὀφείλουσιν οἱ διδάσκαλοι, ἐπιδεικνύντες ὅτι τὰ παραδιδόμενα αὐτοῖς μαθήματα, οὐκ ἀλλοτρίων, ἀλλὰ τῶν σφετέρων αὐτῶν προγόνων λόγοι καὶ πράξεις εἰσὶ, καὶ λέγοντες, ὁ Δημοσθένης (Ὀλυνθ. Γ. σελ. 25) Ἀθηναίοις εἰώθει λέγειν, «Οὐκ ἀλλοτρίοις ὑμῖν χρωμένοις παραδείγμασιν ἀλλ᾽ οἰκείοις, ὦ ἄνδρες Ἀθηναῖοι, εὐδαίμοσιν ἔξεστι γενέσθαι.»

2) Διακελεύομαι] Ἀποθ. μέσ. μετὰ δοτικ. προστάζω, ἐξαιρ. καταπείθω, συμβουλεύω, συστήνω, παρακινῶ, παροτρύνω εἴς τι.

3) Καὶ ποιῶ, καὶ ποιήσω ταὐτὸν, ὅπερ κτλ.] Ἔντεχνον καὶ πάνυ εὐφυὲς παράδειγμα οὗ τῇ γλυκύτητι συνεκέρασε τὸ ἐκ τῆς συμβουλῆς αὐστηρόν.

4) Γυμνικοῖς ἀγῶσιν] Γυμνικὸς ἀγὼν, ἀγὼν εἰς τὸν ὁποῖον ἀγωνίζεταί τις, ἢ παλαίει γυμνός.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λεύονται τῶν δρομέων[1] οὐ τοῖς ἀπολελειμμένοις ἀλλὰ τοῖς περὶ τῆς νίκης ἁμιλλωμένοις. (λγ΄.) Ἐμὸν μὲν 80
οὖν ἔργον καὶ τῶν ἄλλων φίλων τοιαῦτα καὶ λέγειν καὶ γράφειν, ἐξ ὧν μέλλομέν σε παροξύνειν ὀρέγεσθαι τούτων, ὧνπερ καὶ νῦν τυγχάνεις ἐπιθυμῶν· σοὶ δὲ προσήκει μηδὲν ἐλλείπειν ἀλλ' ὥσπερ ἐν τῷ παρόντι καὶ τὸν λοιπὸν χρόνον ἐπιμελεῖσθαι καὶ τὴν ψυχὴν ἀσκεῖν, ὅπως ἄξιος ἔσει καὶ τοῦ πατρὸς καὶ τῶν ἄλλων προγόνων. Ὡς ἅπασι μὲν προσήκει περὶ πολλοῦ ποιεῖσθαι τὴν φρόνησιν, μάλιστα δ' ὑμῖν τοῖς πλείστων καὶ μεγίστων κυρίοις οὖσιν. Χρὴ δ' οὐκ ἀγαπᾶν[2], εἰ 81
τῶν παρόντων τυγχάνεις ὢν ἤδη κρείττων, ἀλλ' ἀγανακτεῖν, εἰ τοιοῦτος μὲν ὢν αὐτὸς τὴν φύσιν, γεγονὼς δὲ τὸ μὲν παλαιὸν ὑπὸ Διός, τὸ δ' ὑπογυιότατον[3] ἐξ ἀνδρὸς τοιούτου τὴν ἀρετήν, μὴ πολὺν διοίσεις καὶ τῶν ἄλλων καὶ τῶν ἐν ταῖς αὐταῖς σοι τιμαῖς ὄντων. Ἔστι δ' ἐπὶ σοὶ μὴ διαμαρτεῖν τούτων· ἂν γὰρ ἐμμένῃς τῇ φιλοσοφίᾳ καὶ τοσοῦτον ἐπιδιδῷς, ὅσον περ νῦν, ταχέως γενήσει τοιοῦτος, οἷόν σε προσήκει.

1) Δρομέων] δρομεύς, έως, καὶ έος. Ὅποιος τρέχει εἰς τὸν δρόμον, ὁ τρέχων γρήγωρα, ἔτι δὲ καὶ ὁ πεζοδρόμος, ταχυδρόμος.

2) Ὑπογυιότατον] τὸ νεώτατον, τὸ τελευταῖον, τὸ πρὸ μικροῦ, ἐπιρρηματικῶς.

3) Χρὴ δ' οὐκ ἀγαπᾶν, .....τιμαῖς ὄντων] πρέπει δὲ νὰ μὴ ἀρκῆσαι, ἂν ἦσαι ἤδη καλλίτερος τῶν συγχρόνων, ἀλλὰ νὰ λυπῆσαι, ἐάν, ἐνῷ τοιοῦτος μὲν σὺ ὑπάρχεις κατὰ τὰ φυσικὰ προτερήματα, κατάγεσαι δὲ ἐκ παλαιῶν μὲν χρόνων ἀπὸ τὸν Δία, τελευταῖον (ἐπ' ἐσχάτων) δὲ ἐξ ἀνδρὸς τοιούτου κατὰ τὴν ἀρετήν, δὲν ἀναδειχθῇς πολὺ ἀνώτερος καὶ τῶν ἄλλων καὶ τῶν ἐχόντων τὸ αὐτὸ μὲ σὲ ἀξίωμα (ἤτοι τῶν λοιπῶν βασιλέων).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΠΛΑΤΑΪΚΟΣ

(α΄.) Εἰδότες ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοῖς ἀδικουμένοις προθύμως βοηθεῖν εἰθισμένους καὶ τοῖς εὐεργέταις μεγίστην χάριν ἀποδιδόντας, ἥκομεν ἱκετεύσοντες μὴ περιιδεῖν ἡμᾶς εἰρήνης οὔσης ἀναστάτους ὑπὸ Θηβαίων γεγενημένους[1]. Πολλῶν δ' ἤδη πρὸς ὑμᾶς καταφυγόντων καὶ διαπραξαμένων ἅπανθ' ὅσων ἐδεήθησαν, ἡγούμεθα μάλισθ' ὑμῖν προσήκειν περὶ τῆς ἡμετέρας
2 πόλεως ποιήσασθαι πρόνοιαν· οὔτε γὰρ ἂν ἀδικώτερον οὐδένας ἡμῶν εὕροιτε τηλικαύταις[2] συμφοραῖς περιπεπτωκότας, οὔτ' ἐκ πλείονος χρόνου πρὸς τὴν ὑμετέραν πόλιν οἰκειότερον διακειμένους. Ἔτι δὲ τοιούτων δεησόμενοι πάρεσμεν, ἐν οἷς κίνδυνος μὲν οὐδεὶς ἔνεστιν[3],

1) Ἀναστάτους ὑπὸ Θηβαίων γεγενημένους] Ἀνάστατοι, οἱ ἐκδιωχθέντες τῆς ἑαυτῶν πόλεως καὶ περιπλανώμενοι, ταύτης καταστραφείσης καὶ κατερημωθείσης, ὡς κατωτέρω θέλει εἰπεῖ. Παράθες τούτοις τὰ ἐκ τοῦ Ἀρχιδάμου § θ΄. καὶ τοῦ περὶ Εἰρήνης § ζ΄.

2) Τηλικαύταις] τηλικοῦτος, τηλικαύτη, τηλικοῦτο, Ἀττικ. ἀντὶ τηλίκος. Ἐπὶ ἡλικίας καὶ μεγέθους, τόσον ἢ τοιοῦτος, τοσοῦτος τὴν ἡλικίαν, τὸ μέγεθος. Ἐπιρρ. τηλικοῦτον = οὕτω σφόδρα, τόσον πολύ· κατ' ἐπίτασιν τηλικουτοσί, τηλικουτονὶ (ἡ ἐτυμολ. τῆς λέξεως τηλικοῦτος ἔστι κατ' ἐπέκτασιν σχηματισμ. τοῦ τηλίκος, ὥσπερ τὸ οὗτος τοῦ ὅς, τημοῦτος τοῦ τῆμος καὶ τ. τ.

3) Ἐν οἷς κίνδυνος μὲν οὐδεὶς ἔνεστιν] εἰς τὰ ὁποῖα κίνδυνος μὲν οὐδεὶς ἐνυπάρχει.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἅπαντες δ' ἄνθρωποι νομιοῦσιν ὑμᾶς πειθομένους ὁσιωτάτους καὶ δικαιοτάτους εἶναι τῶν Ἑλλήνων.

(β'.) Εἰ μὲν οὖν μὴ Θηβαίους ἑωρῶμεν[1] ἐκ παντὸς 3
τρόπου παρεσκευασμένους πείθειν [ὑμᾶς], ὡς οὐδὲν εἰς ἡμᾶς ἐξημαρτήκασι, διὰ βραχέων ἂν ἐποιησάμεθα τοὺς λόγους· ἐπειδὴ δ' εἰς τοῦθ' ἥκομεν ἀτυχίας ὥστε μὴ μόνον ἡμῖν εἶναι τὸν ἀγῶνα πρὸς τούτους ἀλλὰ καὶ τῶν ῥητόρων πρὸς τοὺς δυνατωτάτους, οὓς ἀπὸ τῶν ἡμετέρων[2] αὑτοῖς οὗτοι παρεσκευάσαντο συνηγόρους[3], ἀναγκαῖον διὰ μακροτέρων δηλῶσαι περὶ αὐτῶν.

(γ'.) Χαλεπὸν μὲν οὖν μηδὲν καταδεέστερον εἰπεῖν 4
ὧν[4] πεπόνθαμεν· ποῖος γὰρ ἂν λόγος ἐξισωθείη ταῖς ἡμετέραις δυσπραξίαις[5], ἢ τίς ἂν ῥήτωρ ἱκανὸς γένοιτο κα-

1) Εἰ μὲν οὖν μὴ Θηβαίους ἑωρῶμεν κ.τ.λ.] Ὁ νοῦς τοῦ χωρίου, Εἰ μὲν μὴ ἑωρῶμεν τοὺς Θηβαίους πάντα τρόπον μηχανωμένους καὶ πάντα λίθον κινοῦντας, ὅπως ἂν πείσωσιν ὑμᾶς μηδὲν εἰς ἡμᾶς ἐξημαρτηκέναι, οὐκ ἂν μακρῶν ἔδει λόγων ἡμῖν· ἐπειδὴ δὲ τοσοῦτον δυστυχοῦμεν, ὥστε μὴ πρὸς μόνους αὐτοὺς ἀγωνίζεσθαι, ἀλλὰ καὶ πρὸς τοὺς δεινοτάτους τῶν ῥητόρων, οὓς ἑαυτοῖς συνηγορεῖν παρεσκευάκασιν, ἀναγκαῖόν ἐστι διὰ μακροτέρων λόγων φανερὰς ὑμῖν καταστῆσαι τὰς εἰς ἡμᾶς αὐτῶν ἀδικίας.

2) Ἀλλὰ καὶ τῶν ῥητόρων.... οὓς ἀπὸ τῶν ἡμετέρων κ.τ.λ.] Ἀφ' ὧν ἡμᾶς ἐστέρησαν, παρεσκευάσαντο συνηγόρους ἑαυτοῖς, δωροδοκήσαντες δηλονότι.

3) Συνηγόρους] Συνήγορος ὁ μετά τινος, ἢ ὑπέρ τινος ὁμιλῶν, ὑπερασπιστὴς καὶ διαυθεντευτὴς χρισολογίας τινὸς, ῥήτωρ, advocat. Φώτ. «Προστάτης ὑπέρ τινος λέγων, προήγορος·» ἀλλὰ καὶ ὁ ἀντίδικος παρ' Ἀριστοφ. Ἀχαρν. 715.

4) Ὧν] ἐκείνων, ἅτινα.

5) Δυσπραξίαις] δυστυχίαις.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τηγορῆσαι τῶν Θηβαίοις ἡμαρτημένων; ὅμως δὲ πειρατέον[1] οὕτως ὅπως ἂν δυνώμεθα φανερὰν καταστῆσαι τὴν τούτων παρανομίαν. Πολὺ δὲ μάλιστ᾽ ἀγανακτοῦμεν, ὅτι τοσούτου δέομεν τῶν ἴσων ἀξιοῦσθαι τοῖς ἄλλοις Ἕλλησιν, ὥστ᾽ εἰρήνης οὔσης καὶ συνθηκῶν γεγενημένων[2] οὐχ ὅπως τῆς κοινῆς ἐλευθερίας μετέχομεν ἀλλ᾽ οὐδὲ δουλείας μετρίας τυχεῖν ἠξιώθημεν.

6 (δ΄.) Δεόμεθ᾽ οὖν ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, μετ᾽ εὐνοίας ἀκροάσασθαι τῶν λεγομένων, ἐνθυμηθέντας, ὅτι πάντων ἂν ἡμῖν ἀλογώτατον εἴη συμβεβηκός, εἰ τοῖς μὲν ἅπαντα τὸν χρόνον δυσμενῶς πρὸς τὴν πόλιν ὑμῶν διακειμένοις αἴτιοι γεγένησθε τῆς ἐλευθερίας[3], ἡμεῖς δὲ μηδ᾽ ἱκετεύοντες ὑμᾶς τῶν αὐτῶν τοῖς ἐχθίστοις τύχοιμεν.

7 (ε΄.) Περὶ μὲν οὖν τῶν γεγενημένων οὐκ οἶδ᾽ ὅτι δεῖ μακρολογεῖν· τίς γὰρ οὐκ οἶδεν, ὅτι καὶ τὴν χώραν ἡμῶν κατανενέμηνται[4] καὶ τὴν πόλιν κατεσκάφασιν; ἃ δὲ λέ-

1) Πειρατέον] ῥηματ. ἐπιθ. τοῦ πειράω, πειράομαι. Πρέπει νὰ πειράσῃ τις, δεῖ πειρᾶν. Ὅμως δὲ πειρατέον οὕτως ὅπως ἂν δυνώμεθα = ὅμως δὲ πρέπει τὸ κατὰ δύναμιν νὰ προσπαθήσωμεν.

2) Συνθηκῶν γεγενημένων] Αἰνίττεται τὰς Ἀνταλκιδείους συνθήκας.

3) Αἴτιοι γεγένησθε τῆς ἐλευθερίας] Διότι ὁ ἐλευθερωτὴς τῶν Θηβῶν Πελοπίδας ἐξ Ἀθηνῶν ὡρμήθη πρὸς ἀπελευθέρωσιν τῆς ἑαυτοῦ πατρίδος, καὶ ἀποχρῶσαν ἔλαβεν ἔπειτα παρὰ τῶν Ἀθηναίων ἐπικουρίαν, 379 π. Χ.

4) Τὴν χώραν ἡμῶν κατανενέμηνται] Σημειοῦ τὴν μέσην διάθεσιν τοῦ, κατανενέμηνται, διὰ τὴν ἀλληλοπάθειαν, ἢ αὐτοπάθειαν· ἴσον γὰρ δύναται τῷ ἑαυτοῖς, ἢ ἀλλήλοις κατανενεμήκασιν. Εὕρηται γὰρ καὶ τό, νέμομαι πρός τι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γοντες ἐλπίζουσιν ἐξαπατήσειν ὑμᾶς, περὶ τούτων πειρασόμεθα διδάσκειν.

(ς΄.) Ἐνίοτε μὲν γὰρ ἐπιχειροῦσι λέγειν, ὡς διὰ τοῦτο 8
πρὸς ὑμᾶς οὕτω προσηνέχθησαν, ὅτι συντελεῖν αὐτοῖς[1] οὐκ ἠθέλομεν. Ὑμεῖς δ' ἐνθυμεῖσθε πρῶτον μέν, εἰ δίκαιόν ἐστιν ὑπὲρ τηλικούτων[2] ἐγκλημάτων οὕτως ἀνόμους καὶ δεινὰς ποιεῖσθαι τὰς τιμωρίας, ἔπειτ' εἰ προσήκειν ὑμῖν δοκεῖ μὴ πεισθεῖσαν τὴν Πλαταιέων πόλιν ἀλλὰ βιασθεῖσαν Θηβαίοις συντελεῖν. Ἐγὼ μὲν γὰρ οὐ-

να, οἷόν ἐστι τὸ, Ὅσπερ πρὸς τὸν Δία τὴν χώραν νεμόμενος (Πανηγυρ.). Καὶ ἐν τῇ συνηθείᾳ δὲ οὐ μόνον μοιράζω ἐνεργητικῶς λέγομεν ἐξηγούμενοι τὸ νέμω, οἷόν ἐστι τὸ παρὰ τῷ Λουκιανῷ (Προμηθ. § 5), «Ἐπιτραπέντι σοι μοιράσαι τὰ κρέα,» ἀλλὰ καί, μοιράζομαι, μέσως, οἷον, ἐμοιράσθησαν τὴν περιουσίαν τοῦ πατρός των, ὅπερ, Ἰσοκράτης μέν, Ἐνείμαντο τὴν πατρῴαν οὐσίαν, ἂν εἶπεν, Αἰσχύλος δὲ καὶ αὐτῷ τῷ μοιράζομαι ἐχρήσατο (Ἑπτ. ἐπὶ Θήβ. 909).

Ἐμοιράσαντο δ' ὀξυκάρδιοι
Κτήμαθ', ὥστ' ἴσον λαχεῖν.

1) Συντελεῖν αὐτοῖς] Συντελέω, ῶ, μλ. έσω, ἐκπληρῶ, ἐκτελῶ, συγχρόνως τελειόνω κ.τ.τ. ἐξαιρ. σημ. α΄. «Συντελεῖν ἱερὰ, ἀγῶνα, ἐκφορὰν, κ.τ.τ.» μαζῇ, συγχρόνως, κοινῶς πανηγυρίζω, κάμνω· καὶ ἀμεταβ. ὁμοῦ, εἰς τὸν αὐτὸν καιρὸν ἔρχομαι· β΄. Ὁμοῦ, ἢ κοινῶς πληρόνω φόρον, δόσιμον γ΄, «συντελεῖν εἰς τοὺς Ἀθηναίους, εἰς Θήβας» πληρόνω εἰς μίαν πόλιν, εἰς μίαν πολιτείαν, εἰς ἕνα λαόν, ἐπὶ πόλεων καὶ ἐθνῶν, τὰ ὁποῖα εἶναι ὑποκείμενα εἰς ἄλλα, ὅθεν εἶμαι ὑποτελὴς φόρου, πρέπει νὰ πληρόνω δόσιμον εἰς ἄλλην πολιτείαν, ὑπόκειμαι εἰς αὐτήν. Θουκυδ. 4,76. Λατ. contribuere· ἔτι δὲ συντελεῖν Ἀθηναίοις, Θεσσαλοῖς κ. τ. τ, παρὰ Πλουταρχ. καὶ Παυσαν. δ΄. ἐν γένει δὲ συνεισφέρω εἴς τι, συμβοηθῶ, εἶμαι ὠφέλιμος.

2) Τηλικούτων] Οὕτω μικρῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δένας ἡγοῦμαι τολμηροτέρους εἶναι τούτων, οἵτινες τὰς μὲν ἰδίας ἡμῶν ἑκάστων πόλεις ἀφανίζουσι, τῆς δὲ σφετέρας αὐτῶν πολιτείας οὐδὲν δεομένους κοινωνεῖν
9 ἀναγκάζουσιν. Πρὸς δὲ τούτοις οὐδ' ὁμολογούμενα φαίνονται διαπραττόμενοι πρός τε τοὺς ἄλλους[1] καὶ πρὸς ἡμᾶς. Ἐχρῆν γὰρ αὐτούς, ἐπειδὴ πείθειν ἡμῶν τὴν πόλιν οὐχ οἷοί τ' ἦσαν ὥσπερ τοὺς Θεσπιέας καὶ τοὺς Ταναγραίους[2], συντελεῖν μόνον εἰς τὰς Θήβας ἀναγκάζειν· οὐδὲν γὰρ ἂν τῶν ἀνηκέστων[3] κακῶν ἦμεν πεπονθότες. Νῦν δὲ φανεροὶ γεγόνασιν οὐ τοῦτο διαπράξασθαι βου-
10 ληθέντες ἀλλὰ τῆς χώρας ἡμῶν ἐπιθυμήσαντες. Θαυμάζω δέ, πρὸς τί τῶν γεγενημένων ἀναφέροντες καὶ πῶς ποτὲ τὸ δίκαιον κρίνοντες ταῦτα φήσουσι προστάττειν ἡμῖν. Εἰ μὲν γὰρ τὰ πάτρια σκοποῦσιν, οὐ τῶν ἄλλων αὐτοῖς ἀρκτέον ἀλλὰ πολὺ μᾶλλον Ὀρχομενίοις φόρον οἰστέον· οὕτω γὰρ εἶχε τὸ παλαιόν[4]· εἰ δὲ τὰς συν-

1) Πρός τε τοὺς ἄλλους] Βοιωτοὺς δηλονότι.

2) Ταναγραίους] Τοὺς κατοίκους τῆς Βοιωτικῆς πόλεως Τανάγρας, καὶ σήμερον καλουμένης Γραϊμάδας ἢ Σκαμμίνο, παρὰ τὴν ἀριστερὰν ὄχθην τοῦ Ἀσωποῦ.

3) Ἀνηκέστων] Ἀνήκεστος ὁ, ἡ (ἐκ τοῦ α στερτ. καὶ ἀκεστός, ἐκ τοῦ ἀκέομαι=ἰῶμαι, ἰατρεύω) ἀνίατος, ἀϊάτρευτος· ὁ Ὅμηρος συντάσσει τῇ λέξει τό, ἄλγος, καὶ χόλος, τὰ ὁποῖα εἶναι ἀνίατα· ἢ διὰ τὰ ὁποῖα δὲν εὑρίσκεται ἰατρικόν, ἢ βοηθητικὸν μέσον νὰ τὰ μετριάζῃ, καταπραΰνῃ· Ἰλιάδ. Ε,394. Ο,217. Πάθος, λώβη, λῦμαι. Ἡροδτ. 137,3, 154.6, 12, διὰ τὰ ὁποῖα δὲν ὑπάρχει κανὲν ἰατρικὸν νὰ τὰ ἐξαλείψῃ· ἄρα ἀϊάτρευτος καθόλου.

4) Οὕτω γὰρ εἶχε τὸ παλαιόν] Τὸ πάλαι οἱ Θηβαῖοι ἦσαν ὑποτελεῖς φόρου εἰς τοὺς Ὀρχομενίους, ἑωσότου ὁ Ἡρακλῆς ἠλευθέρωσεν αὐτούς, κατὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θήκας[1] ἀξιοῦσιν εἶναι κυρίας, ὅπερ ἐστὶ δίκαιον, πῶς
οὐχ ὁμολογήσουσιν ἀδικεῖν καὶ παραβαίνειν αὐτάς; ὁμοίως
γὰρ τάς τε μικρὰς τῶν πόλεων καὶ τὰς μεγάλας αὐ-
τονόμους εἶναι κελεύουσιν.
(ζ'.) Οἶμαι δὲ περὶ μὲν τούτων οὐ τολμήσειν αὐτοὺς 11
ἀναισχυντεῖν[2], ἐπ' ἐκεῖνον δὲ τρέψεσθαι τὸν λόγον, ὡς
μετὰ Λακεδαιμονίων ἐπολεμοῦμεν[3] καὶ πάσῃ τῇ συμμα-
χίᾳ διαφθείραντες ἡμᾶς συμφέροντα πεποιήκασιν[4]. (η'.) 12
Ἐγὼ δ' ἡγοῦμαι μὲν χρῆναι μηδεμίαν μήτ' αἰτίαν μήτε
κατηγορίαν μεῖζον δύνασθαι τῶν ὅρκων καὶ τῶν συνθη-
κῶν· οὐ μὴν ἀλλ' εἰ δεῖ τινας κακῶς παθεῖν διὰ τὴν
Λακεδαιμονίων συμμαχίαν, οὐκ ἂν Πλαταιεῖς[5] ἐξ ἁπάν-
των τῶν Ἑλλήνων προὐκρίθησαν δικαίως· οὐ γὰρ ἑκόν-
τες ἀλλ' ἀναγκασθέντες αὐτοῖς ἐδουλεύομεν. Τίς γὰρ ἂν 13
πιστεύσειεν εἰς τοῦθ' ἡμᾶς ἀνοίας ἐλθεῖν ὥστε περὶ πλείο-

Διόδωρον τὸν Σικελιώτην (Δ. ι'. καὶ ΙΕ'. οθ'.).

1) Τὰς συνθήκας] τὰς ἐπὶ Ἀνταλκίδου, περὶ τῶν ὁποίων ἴδε Ξενοφ. Ἑλλ. Ε, α. 28.

2) Ἀναισχυντεῖν] ἐπὶ τοῦ ψεύδεσθαι πολλάκις οἱ ῥήτορες κέχρηνται τῇ λέξει, καθὰ καὶ τὸ αἰσχρῶς (Ἰσοκρ. πρὸς Φίλιπ.) ἐπὶ τοῦ ψευδῶς.

3) Μετὰ Λακεδαιμονίων ἐπολεμοῦμεν] Ἐκ τῶν εἰρημένων ἐνταῦθα ἀποδεικνύεται, ὅτι κατὰ τὰ Θηβαϊκὰ οἱ Πλαταιεῖς ἦσαν σύμμαχοι τῶν Λακεδαιμονίων κατὰ τῶν Θηβαίων.

4) Καὶ πάσῃ τῇ συμμαχίᾳ... πεποιήκασιν] Διότι οἱ Ἀθηναῖοι σύμμαχοι ἦσαν τῶν Θηβαίων, καὶ συνεμάχησαν μὲ τοὺς Λακεδαιμονίους κατ' ἐκείνων μικρόν τι πρὸ τῆς μεγάλης μάχης, τῆς γενομένης περὶ Μαντίνειαν.

5) Εἰ δεῖ τινας κακῶς παθεῖν... οὐκ ἂν Πλαταιεῖς κτλ.] Οἷα καὶ ἡ Ἑκάβη, παρ' Εὐριπίδῃ (ἴδ. Ἑκ. 267) ὀλοφύρεται λέγουσα περὶ τῆς ἰδίας θυγατρός.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νος ποιήσασθαι τοὺς ἐξανδραποδισαμένους ἡμῶν τὴν πατρίδα μᾶλλον ἢ τοὺς τῆς πόλεως τῆς αὐτῶν μεταδόντας;[1] ἀλλὰ γάρ, οἶμαι, χαλεπὸν ἦν νεωτερίζειν αὐτοὺς μὲν μικρὰν πόλιν οἰκοῦντας, ἐκείνων δ' οὕτω μεγάλην δύναμιν κεκτημένων, ἔτι δὲ πρὸς τούτοις ἁρμοστοῦ[2] καθεστῶτος καὶ φρουρᾶς ἐνούσης καὶ τηλικούτου
14 στρατεύματος ὄντος Θεσπιᾶσιν, ὑφ' ὧν οὐ μόνον ἂν θᾶττον ἢ Θηβαίων διεφθάρημεν ἀλλὰ καὶ δικαιότερον· τούτους μὲν γὰρ εἰρήνης οὔσης οὐ προσῆκε μνησικακεῖν περὶ τῶν τότε γεγενημένων[3], ἐκεῖνοι δ' ἐν τῷ πολέμῳ προδοθέντες[4] εἰκότως ἂν παρ' ἡμῶν τὴν μεγίστην δίκην ἐ-
15 λάμβανον. Ἡγοῦμαι δ' ὑμᾶς οὐκ ἀγνοεῖν, ὅτι πολλοὶ καὶ τῶν ἄλλων Ἑλλήνων τοῖς μὲν σώμασι μετ' ἐκείνων ἀκολουθεῖν ἠναγκάζοντο, ταῖς δ' εὐνοίαις μεθ' ἡμῶν ἦσαν. Οὓς τίνα χρὴ προσδοκᾶν γνώμην ἕξειν, ἢν ἀκούσωσιν, ὅτι Θηβαῖοι τὸν δῆμον τὸν Ἀθηναίων πεπείκασιν, ὡς οὐδενός ἐστι φειστέον τῶν ὑπὸ Λακεδαιμο-

1) Ἢ τοὺς τῆς πόλεως τῆς αὐτῶν μεταδόντας;] Οἱ Ἀθηναῖοι εἰς πάντας τοὺς Πλαταιεῖς, τοὺς ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου εἰς τὴν πόλιν αὐτῶν καταφυγόντας, μετέδωκαν τῆς ἑαυτῶν πολιτείας.

2) Ἁρμοστοῦ] Ἁρμοστής, οῦ, καὶ ἁρμοστήρ, ῆρος, ἁρμόστωρ, ορος ποιητ. Ὅστις ἁρμόζει, διοικεῖ, κυβερνᾷ, βάνει εἰς τάξιν τὰ πράγματα. Ἁρμοστὴς ὠνομάζετο ἐξαιρ. παρὰ Λακεδαιμονίοις ὁ ἔπαρχος, εἰς τὸν ὁποῖον διαρκούσης τῆς ἡγεμονίας του διεπιστεύοντο τὴν διοίκησιν καὶ κυβέρνησιν τῶν πόλεων, τὰς ὁποίας ἐκυρίευον. Ξενοφ. Ἑλ. 4, 10.

3) Περὶ τῶν τότε γεγενημένων] δηλ. κατὰ τὸν Βοιωτικὸν πόλεμον.

4) Προδοθέντες] καταληφθέντες.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νίοις γενομένων;[1] ὁ γὰρ τούτων λόγος[2] οὐδὲν ἄλλ' ἢ 16
τοῦτο φανήσεται δυνάμενος· οὐ γὰρ ἰδίαν κατηγορίαν ποιούμενοι κατὰ τῆς πόλεως τῆς ἡμετέρας ἀπολωλέκασιν αὐτήν, ἀλλ' ἣν ὁμοίως καὶ κατ' ἐκείνων ἕξουσιν εἰπεῖν. Ὑπὲρ ὧν βουλεύεσθαι χρὴ καὶ σκοπεῖν, ὅπως[3] μὴ τοὺς πρότερον μισοῦντας τὴν ἀρχὴν τὴν Λακεδαιμονίων ἡ τούτων ὕβρις διαλλάξει καὶ ποιήσει τὴν ἐκείνων συμμαχίαν αὑτῶν νομίζειν εἶναι σωτηρίαν.

(θ'.) Ἐνθυμεῖσθε δ' ὅτι τὸν πόλεμον ἀνείλεσθε τὸν 17
ὑπογυιότατον[4] οὐχ ὑπὲρ τῆς ὑμετέρας οὐδ' ὑπὲρ τῆς τῶν συμμάχων ἐλευθερίας, ἅπασι γὰρ ὑπῆρχεν ὑμῖν, ἀλλ' ὑπὲρ τῶν παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας τῆς αὐτονομίας ἀποστερουμένων. Ὃ δὴ καὶ πάντων σχετλιώτατον[5], εἰ τὰς πόλεις, ἃς οὐκ ᾤεσθε δεῖν Λα-

1) Οὓς τίνα χρὴ προσδοκᾶν... ὑπὸ Λακεδαιμονίοις γενομένων;] Οὗτοι τίνα πρέπει νὰ προσδοκᾶτε ὅτι μέλλουσι νὰ μορφώσωσι γνώμην, ἂν ἀκούσωσιν, ὅτι οἱ Θηβαῖοι τὸν δῆμον τῶν Ἀθηναίων ἔπεισαν, ὅτι δὲν πρέπει νὰ φεισθῶσιν οὐδενὸς τῶν ὑπαχθέντων εἰς τοὺς Λακεδαιμονίους;

2) Ὁ γὰρ τούτων λόγος] Ἡ τῶν Θηβαίων πρὸς ταῦτα ἀπολογία δηλαδή.

3) Ὅπως] τροπικὸν ἐπίρρημα ἐνταῦθα, οὐκ αἰτιολογικὸς σύνδεσμος τὸ, ὅπως.

4) Τὸν ὑπογυιότατον] πρὸ μικροῦ πάνυ χρόνου γεγονότα. Ἔστι δὲ παρὰ τὸ γυῖον, ὃ σημαίνει μέλος, κυρίως δὲ χεῖρας καὶ πόδας. Τὸ οὖν ὑπόγυιον οὐδὲν ἄλλ' ἐστιν ἢ τὸ ὑπὸ τοῖς γυίοις ὄν, καὶ κατὰ μεταφορὰν τὸ ἐγγὺς καὶ μὴ πολὺ ἀφεστηκός· καθ' ἃ καὶ τὸ παρ' Ἱπποκράτει, Ἐς χεῖρα, ὃ Γαληνὸς ἐξηγεῖται διὰ τοῦ πλησίον, καὶ τὸ μᾶλλον δῆλον καὶ χρηστὸν, Παρὰ πόδας, ἐπὶ τῆς αὐτῆς σημασίας τασσόμενον.

5) Σχετλιώτατον] τρομερώτατον, ὀλεθριώτατον, βλαβερώτατον, ἐλεεινότατον, κ.τ.τ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κεδαιμονίοις δουλεύειν, ταύτας περιόψεσθε νῦν ὑπὸ Θηβαίων ἀπολλυμένας· οἳ τοσούτου δέουσι μιμεῖσθαι τὴν
18 πραότητα τὴν ὑμετέραν, ὥσθ' ὃ δοκεῖ πάντων δεινότατον εἶναι, δοριαλώτους γενέσθαι, τοῦτο κρεῖττον ἦν ἡμῖν παθεῖν ὑπὸ ταύτης τῆς πόλεως ἢ τούτων τυχεῖν ὁμόρους ὄντας· οἱ μὲν γὰρ ὑφ' ὑμῶν κατὰ κράτος ἁλόντες εὐθὺς μὲν ἁρμοστοῦ καὶ δουλείας ἀπηλλάγησαν, νῦν δὲ τοῦ συνεδρίου[1] καὶ τῆς ἐλευθερίας μετέχουσιν· οἱ δὲ τούτων πλησίον οἰκοῦντες οἱ μὲν οὐδὲν ἧττον τῶν ἀργυρωνήτων[2] δουλεύουσι, τοὺς δ' οὐ πρότερον παύσονται πρὶν
19 ἂν οὕτως ὥσπερ ἡμᾶς διαθῶσιν. Καὶ Λακεδαιμονίων μὲν κατηγοροῦσιν, ὅτι τὴν Καδμείαν[3] κατέλαβον καὶ φρουρὰς εἰς τὰς πόλεις καθίστασαν, αὐτοὶ δ' οὐ φύλακας εἰσπέμποντες, ἀλλὰ τῶν μὲν τὰ τείχη κατασκάπτοντες, τοὺς δ' ἄρδην[4] ἀπολλύοντες οὐδὲν οἴονται δεινὸν ποιεῖν,

1) Νῦν δὲ τοῦ συνεδρίου] Ὅτε ἡ νέα συμμαχία τῶν Ἀθηναίων συνετελέσθη (377 π. Χ.) πολὺ καλλιτέρα καὶ μᾶλλον ἰσόνομος τῆς προτέρας, αἱ συμπεριληφθεῖσαι εἰς αὐτὴν διάφοροι πόλεις ἐκηρύχθησαν ρητῶς ἀνεξάρτητοι· συνέστη δὲ συμβούλιον ἐν Ἀθήναις, εἰς τὸ ὁποῖον ἑκάστη τῶν συμμαχίδων πόλεων ἀπέστελλεν ἐκπροσώπους αὐτῆς· καὶ τὸ μὲν συμβούλιον ὠνομάσθη συνέδριον, οἱ δὲ ἀπεσταλμένοι τῶν πόλεων σύνεδροι, καὶ τὰ χορηγούμενα ὑπὸ τῶν συμμάχων χρήματα, συντάξεις, πρὸς ἀποφυγὴν τοῦ παλαιοῦ καὶ μισητοῦ ὀνόματος, φόροι. Τὸ συνέδριον τοῦτο ἐνταῦθα ἐννοεῖ ὁ Ἰσοκράτης.

2) Ἀργυρωνήτων] ἀργυρώνητος ὁ, ἡ, (ὠνέομαι) ἀγορασμένος μὲ ἀργύρια· ἐξαιρέτως δὲ ὁ δοῦλος, ὁ σκλάβος.

3) Καδμείαν] Καδμεία· Οὕτως ὠνομάζετο ἡ ἀρχαία Ἀκρόπολις τῶν Θηβῶν ἐν Βοιωτίᾳ κτισθεῖσα ὑπὸ τοῦ Κάδμου Ξενοφ. Ἀπολδρ. β΄, 4, 6.

4) Ἄρδην] Ἐπιρρ. κατὰ συγκ. ἀντὶ ἀέρδην (αἴρω)· ἐξ ὁλο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀλλ' εἰς τοῦτ' ἀναισχυντίας ἐληλύθασιν, ὥστε τῆς μὲν αὐτῶν σωτηρίας τοὺς συμμάχους ἅπαντας ἀξιοῦσιν ἐπιμελεῖσθαι, τῆς δὲ τῶν ἄλλων δουλείας αὐτοὺς κυρίους καθιστᾶσιν. Καίτοι τίς οὐκ ἂν μιμήσειε τὴν τούτων 20
πλεονεξίαν, οἳ τῶν μὲν ἀσθενεστέρων ἄρχειν ζητοῦσι, τοῖς δὲ κρείττοσιν ἴσον ἔχειν οἴονται δεῖν, καὶ τῇ μὲν ὑμετέρᾳ πόλει τῆς γῆς τῆς ὑπ' Ὠρωπίων δεδομένης φθονοῦσιν, αὐτοὶ δὲ βίᾳ τὴν ἀλλοτρίαν χώραν κατανέμονται;[1]

(ι΄.) Καὶ πρὸς τοῖς ἄλλοις κακοῖς λέγουσιν, ὡς ὑπὲρ 21
τοῦ κοινοῦ τῶν συμμάχων ταῦτ' ἔπραξαν. Καίτοι χρῆν αὐτούς, ὄντος ἐνθάδε συνεδρίου καὶ τῆς ὑμετέρας πόλεως ἄμεινον βουλεύεσθαι δυναμένης ἢ τῆς Θηβαίων, οὐχ ὑπὲρ τῶν πεπραγμένων ἥκειν ἀπολογησομένους, ἀλλὰ πρὶν ποιῆσαί τι τούτων ἐλθεῖν ὡς ὑμᾶς βουλευσομένους. Νῦν 22
δὲ τὰς μὲν οὐσίας τὰς ἡμετέρας ἰδίᾳ διηρπάκασι, τῆς δὲ διαβολῆς ἅπασι τοῖς συμμάχοις ἥκουσι μεταδώσοντες. Ἣν ὑμεῖς, ἢν σωφρονῆτε, φυλάξεσθε· πολὺ γὰρ κάλλιον τούτους ἀναγκάσαι μιμήσασθαι τὴν ὁσιότητα τὴν ὑμετέραν ἢ τῆς τούτων παρανομίας αὐτοὺς πεισθῆναι μετασχεῖν, οἳ μηδὲν τῶν αὐτῶν τοῖς ἄλλοις γιγνώσκουσιν. Οἶμαι γὰρ ἅπασι φανερὸν εἶναι, διότι προσήκει τοὺς 23

κλήρου, παντελῶς, ἐκ θεμελίων, κατὰ κράτος, κ. τ. τ. Αἰσχίν. κατὰ Κτησιφ. «Ἄρδην τὴν πόλιν ἀνατρέπειν.»

1) Τὴν ἀλλοτρίαν χώραν κατανέμονται] Σημείωσαι καὶ αὖθις τὴν μεσότητα τοῦ ῥήματος τὴν αὐτὴν οὖσαν καὶ ἐν τῇ συνηθείᾳ, οἷον Καταμοιράζονται τὸν ξένον τόπον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εὖ φρονοῦντας ἐν μὲν τῷ πολέμῳ σκοπεῖν, ὅπως ἐκ παντὸς τρόπου πλέον ἕξουσι τῶν ἐχθρῶν, ἐπειδὰν δ' εἰρήνη γένηται, μηδὲν περὶ πλείονος ποιεῖσθαι τῶν ὅρκων καὶ
24 τῶν συνθηκῶν. Οὗτοι δὲ τότε[1] μὲν ἐν ἁπάσαις ταῖς πρεσβείαις ὑπὲρ τῆς ἐλευθερίας καὶ τῆς αὐτονομίας[2] ἐποιοῦντο τοὺς λόγους· ἐπειδὴ δὲ νομίζουσιν αὑτοῖς ἄδειαν γεγενῆσθαι, πάντων τῶν ἄλλων ἀμελήσαντες ὑπὲρ τῶν ἰδίων κερδῶν καὶ τῆς αὑτῶν βίας λέγειν τολμῶσι, καὶ
25 φασὶ τὸ Θηβαίους ἔχειν τὴν ἡμετέραν, τοῦτο συμφέρον εἶναι τοῖς συμμάχοις, κακῶς εἰδότες, ὡς οὐδὲν τοῖς παρὰ τὸ δίκαιον πλεονεκτοῦσιν[3] οὐδὲ πώποτε συνήνεγκεν, ἀλλὰ πολλοὶ δὴ τῆς ἀλλοτρίας ἀδίκως ἐπιθυμήσαντες περὶ τῆς αὑτῶν δικαίως εἰς τοὺς μεγίστους κινδύνους κατέστησαν.

26 (ια´.) Ἀλλὰ μὴν οὐδ' ἐκεῖνό γ' ἕξουσι λέγειν, ὡς αὐτοὶ μέν, μεθ' ὧν ἂν γένωνται, πιστοὶ διατελοῦσιν ὄντες, ἡμᾶς δ' ἄξιον φοβεῖσθαι, μὴ κομισάμενοι τὴν χώραν πρὸς Λακεδαιμονίους ἀποστῶμεν· εὑρήσετε γὰρ ἡμᾶς μὲν δὶς ἐκπεπολιορκημένους[4] ὑπὲρ τῆς φιλίας τῆς ὑμε-

1) Οὗτοι δὲ τότε] Ἐν τῷ πολέμῳ δηλαδή, καὶ μάλιστα πρὶν τοὺς Λακεδαιμονίους νικήσωσιν εἰς τὴν μεγάλην ἐκείνην περὶ τὰ Λεῦκτρα μάχην.

2) Τῆς αὐτονομίας] Τῶν Ἑλληνίδων πόλεων.

3) Ὡς οὐδὲν τοῖς παρὰ τὸ δίκαιον πλεονεκτοῦσιν κτλ.] Ὁ νοῦς· φασὶν οἱ Θηβαῖοι, ὥστε κατέχειν ἀδίκως τὴν ἡμετέραν χώραν συμφέρει τοῖς συμμάχοις αὐτῶν κακῶς εἰδότες (=ἀγνοοῦντες) ὅτι οὐδ' αὐτοῖς, ἤγουν τοῖς συμμάχοις αὐτῶν συνήνεγκε τὸ πλεονεκτεῖν παρὰ τὸ δίκαιον.

4) Δὶς ἐκπεπολιορκημένους] δηλ. ὑπὸ τοῦ Ξέρξου

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τέρας, τούτους δὲ πολλάκις εἰς ταύτην τὴν πόλιν ἐξημαρτηκότας. (ιϛ΄.) Καὶ τὰς μὲν παλαιὰς προδοσίας πολὺ 27
ἂν ἔργον εἴη λέγειν[1]· γενομένου δὲ τοῦ Κορινθιακοῦ πολέμου[2] διὰ τὴν ὕβριν τὴν τούτων, καὶ Λακεδαιμονίων μὲν ἐπ᾽ αὐτοὺς στρατευσάντων, δι᾽ ὑμᾶς δὲ σωθέντες οὐχ ὅπως τούτων χάριν ἀπέδοσαν, ἀλλ᾽ ἐπειδὴ διελύεσθε τὸν πόλεμον, ἀπολιπόντες ὑμᾶς εἰς τὴν Λακεδαιμονίων συμμαχίαν εἰσῆλθον[3]. Καὶ Χῖοι μὲν καὶ Μυτι- 28
ληναῖοι καὶ Βυζάντιοι συμπαρέμειναν, οὗτοι δὲ τηλικαύτην πόλιν οἰκοῦντες οὐδὲ κοινοὺς σφᾶς αὐτοὺς παρασχεῖν ἐτόλμησαν, ἀλλ᾽ εἰς τοῦτ᾽ ἀνανδρίας καὶ πονηρίας ἦλθον, ὥστ᾽ ὤμοσαν ἦ μὴν ἀκολουθήσειν μετ᾽ ἐκείνων[4] ἐφ᾽ ὑμᾶς τοὺς διασώσαντας τὴν πόλιν αὐτῶν· ὑπὲρ ὧν δόντες τοῖς θεοῖς δίκην[5] καὶ τῆς Καδμείας

καὶ ὑπὸ τῶν Λακεδαιμονίων. Ἔπιθι τὸν Θουκυδίδην Β. 74—78, καὶ Γ, 52.

1) Καὶ τὰς μὲν παλαιὰς .... εἴη λέγειν] Καὶ τὸ μὲν νὰ ἐκθέσωμεν τὰς παλαιὰς αὐτῶν προδοσίας ἤθελεν εἶναι κόπος μέγας.

2) Τοῦ Κορινθιακοῦ πολέμου] Ὀκταέτης ἐγένετο ὁ πόλεμος οὗτος, ἔσχε δὲ ἐπακολούθημα τὴν ἐπ᾽ Ἀνταλκίδου εἰρήνην, τὴν ἐπονείδιστον εἰς τοὺς Ἕλληνας.

3) Δι᾽ ὑμᾶς δὲ σωθέντες... συμμαχίαν εἰσῆλθον] δι᾽ ὑμῶν δ᾽ ἐσώθησαν ἐκείνου τοῦ κινδύνου, ὄχι μόνον ἀντὶ τούτων δὲν ἀπέδωκαν χάριν, ἀλλ᾽ εὐθὺς μετὰ τὴν τοῦ πολέμου διάλυσιν, ἀπολιπόντες ὑμᾶς, εἰσῆλθον εἰς τὴν τῶν Λακεδαιμονίων συμμαχίαν.

4) Μετ᾽ ἐκείνων] τῶν Λακεδαιμονίων.

5) Ὑπὲρ ὧν δόντες τοῖς θεοῖς δίκην] Τούτων ἕνεκα τιμωρηθέντες παρὰ τῶν θεῶν. Αἰνίττεται ἐντθ. τὸν Πελοπίδαν καὶ τοὺς περὶ αὐτὸν δημοκρατικούς. Ἠλευθερώθησαν δὲ ὑπὸ τούτου αἱ Θῆβαι τῷ 379 π. Χ. τῇ συναρωγῇ πολλῶν φιλελευθέρων Ἀθηναίων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καταληφθείσης ἠναγκάσθησαν ἐνθάδε καταφυγεῖν. Ὅθεν
29 καὶ μάλιστ' ἐπεδείξαντο τὴν αὐτῶν ἀπιστίαν· σωθέντες γὰρ πάλιν διὰ τῆς ὑμετέρας δυνάμεως καὶ κατελθόντες εἰς τὴν αὐτῶν οὐδένα χρόνον ἀνέμειναν, ἀλλ' εὐθὺς εἰς Λακεδαίμονα πρέσβεις ἀπέστελλον, ἕτοιμοι δουλεύειν ὄντες καὶ μηδὲν κινεῖν τῶν πρότερον πρὸς αὐτοὺς ὡμολογημένων. Καὶ τί δεῖ μακρολογεῖν;[1] εἰ γὰρ μὴ προσέταττον ἐκεῖνοι τούς τε φεύγοντας καταδέχεσθαι[2] καὶ τοὺς αὐτόχειρας[3] ἐξείργειν, οὐδὲν ἂν ἐκώλυεν αὐτοὺς μετὰ τῶν ἠδικηκότων ἐφ' ὑμᾶς τοὺς εὐεργέτας στρατεύεσθαι.
30 (ιγ'.) Καὶ τοιοῦτοι μὲν νεωστὶ περὶ τὴν πόλιν τήνδε

1) Καὶ τί δεῖ μακρολογεῖν;] Καὶ τίς ἡ χρεία νὰ μακρολογῶ;

2) Εἰ γὰρ μὴ προσέταττον... καταδέχεσθαι] Ἀντεῖπε (Ἀγησίλαος) τῇ εἰρήνῃ, ἕως τοῦ διὰ Λακεδαιμονίους φυγόντας Κορινθίων καὶ Θηβαίων ἠνάγκασε τὰς πολεις οἴκαδε καταδέξασθαι. Ξενοφ. Ἀγησ. Β, 21. Ἦσαν δ' οὗτοι οἱ φυγαδευθέντες ὑπὸ τῶν Κορινθίων καὶ Θηβαίων πολιτῶν πολῖται, οὓς καὶ εταίρους Ἀγησιλάου Ἰσοκράτης ὀνομάζει (πρὸς Φίλιπ. λϛ'.)

3) Αὐτόχειρας] Αὐτόχειρ ειρος ὁ. ἡ. (χείρ). Ὅστις ἐργάζεται, δουλεύει μὲ τὰς ἰδίας του χεῖρας διὰ νὰ κερδήσῃ τὸν ἐπιούσιον ἄρτον· διαυθεντεύεται μόνος του, νικᾷ τὸν ἐχθρόν του μὲ τὰς ἰδίας του χεῖρας καὶ τὸν αἰχμαλωτίζει, τὸν πέρνει σκλάβον· ἀπὸ Δημοσθένους δὲ = αὐθέντης, ἐκ συναιρέσεως ἐκ τοῦ αὐτοέντης, ᾧ Σοφοκλῆς ἐχρήσατο (Οἰδ. Τυρ. 107) τουτέστιν ὁ ἑαυτὸν ἢ ἕτερον ἰδίαις χερσὶ φρνεύων· μετὰ γενικ. αὐτόχειρ φόνου ἀγαθῶν. Ἰσοκρ. πρὸς Φίλιπ. «αὐτόχειρες τῶν ἀγαθῶν·» περὶ τῶν θεῶν, οἵτινες δίδουσι τὰ καλὰ ἰδιοχείρως. 2) παθτ. ὅστις ἔγεινεν, εἶναι καμωμένος ἀφ' ἑαυτοῦ του. παρβλ. ἐν Σοφοκλ. Ἀντ. 1160, Ἐπιρρ. αὐτοχείρως, καὶ αὐτοχειρί, ἀφ' οὗ αὐτοχειρία

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γεγενημένοι, τὸ δὲ παλαιὸν[1] ἁπάσης τῆς Ἑλλάδος προδόται καταστάντες, αὐτοὶ μὲν ὑπὲρ οὕτως ἑκουσίων καὶ μεγάλων ἀδικημάτων συγγνώμης τυχεῖν ἠξιώθησαν, ἡμῖν δ' ὑπὲρ ὧν ἠναγκάσθημεν, οὐδεμίαν ἔχειν οἴονται δεῖν, ἀλλὰ τολμῶσιν ὄντες Θηβαῖοι λακωνισμὸν ἑτέροις ὀνειδίζειν, οὓς πάντες ἴσμεν πλεῖστον χρόνον Λακεδαιμονίοις δεδουλευκότας καὶ προθυμότερον ὑπὲρ τῆς ἐκείνων ἀρχῆς ἢ τῆς αὑτῶν σωτηρίας πεπολεμηκότας. Ποίας 31
γὰρ εἰσβολῆς ἀπελείφθησαν τῶν εἰς ταύτην τὴν χώραν γεγενημένων; ἢ τίνων οὐκ ἐχθίους ὑμῖν καὶ δυσμενέστεροι διετέλεσαν ὄντες; οὐκ ἐν τῷ Δεκελεικῷ πολέμῳ[2] πλειόνων αἴτιοι κακῶν ἐγένοντο τῶν ἄλλων τῶν συνεισβαλόντων; οὐ δυστυχησάντων ὑμῶν[3] μόνοι τῶν συμμάχων ἔθεντο τὴν ψῆφον, ὡς χρὴ τήν τε πόλιν ἐξανδραποδίσασθαι καὶ τὴν χώραν ἀνεῖναι μηλόβοτον[4] ὥσπερ τὸ Κρισαῖον πεδίον;[5] ὥστ' εἰ Λακεδαιμόνιοι τὴν 32

1) Τὸ δὲ παλαιὸν] ἐπὶ τῶν Περσικῶν· οὐ γὰρ συνεμάχησαν Θηβαῖοι τοῖς πρὸς τοὺς Πέρσας πολεμήσασι τῶν Ἑλλήνων.

2) Τῷ Δεκελεικῷ πολέμῳ] Ὅρ. Σελ. 22, σημ. 1.

3) Δυστυχησάντων ὑμῶν] Ἐννοεῖ τὴν πολυθρύλητον ἐν Αἰγὸς ποταμοῖς ναυμαχίαν.

4) Μηλόβοτον] Μηλόβοτος ὁ, ἡ (βόσκω, βότω). «Μηλόβοτος χώρα γῆ», εἰς ἣν βόσκονται, νέμονται μόνον τὰ πρόβατα διὰ τὴν ἐρημίαν, ἀγεώργητος δηλ. καὶ ἄσπαρτος γῆ. Ἡρόδτ. Πλουτ. Καμιλλ.

5) Κρισαῖον πεδίον] Τερπνότατος κάμπος τῆς Φωκίδος μεταξὺ τῆς πόλεως Κρίσης καὶ Κίρρας, ὅστις μετὰ τὴν καταστροφὴν τῆς Κρίσης ἔγεινεν ἱερὸς τοῦ ἐν Δελφοῖς Ἀπόλλωνος· τὸ Κιρραῖον πεδίον (Αἰσχίν.) Σοφ. Ἡροδτ. 9, 32. — Κρισαῖοι οἱ κάτοικοι τῆς πόλεως Κρίσης.



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτὴν γνώμην ἔσχον Θηβαίοις, οὐδὲν ἂν ἐκώλυε τοὺς ἅπασι τοῖς Ἕλλησιν αἰτίους τῆς σωτηρίας γενομένους αὐτοὺς ὑπὸ τῶν Ἑλλήνων ἐξανδραποδισθῆναι καὶ ταῖς μεγίσταις συμφοραῖς περιπεσεῖν. Καίτοι τίνα τηλικαύτην εὐεργεσίαν ἔχοιεν ἂν εἰπεῖν, ἥτις ἱκανὴ γενήσεται διαλῦσαι τὴν ἔχθραν τὴν ἐκ τούτων δικαίως ἂν ὑπάρχουσαν πρὸς αὐτούς;

33 (ιδ΄.) Τούτοις μὲν οὖν οὐδεὶς λόγος ὑπολείπεται τηλικαῦτα τὸ μέγεθος ἐξημαρτηκόσι, τοῖς δὲ συναγορεύειν βουλομένοις ἐκεῖνος μόνος, ὡς νῦν μὲν ἡ Βοιωτία προπολεμεῖ[1] τῆς ὑμετέρας χώρας, ἢν δὲ διαλύσησθε τὴν πρὸς τούτους φιλίαν, ἀσύμφορα τοῖς συμμάχοις διαπράξεσθε· μεγάλην γὰρ ἔσεσθαι τὴν ῥοπήν, εἰ μετὰ Λακεδαιμονίων ἡ τούτων γενήσεται πόλις. (ιε΄.) Ἐγὼ δ' οὔτε τοῖς συμμάχοις ἡγοῦμαι λυσιτελεῖν τοὺς ἀσθενεστέρους τοῖς κρείττοσι δουλεύειν, καὶ γὰρ τὸν παρελθόντα χρόνον ὑπὲρ
34 τούτων ἐπολεμήσαμεν, οὔτε Θηβαίους εἰς τοῦτο μανίας ἥξειν ὥστ' ἀποστάντας τῆς συμμαχίας Λακεδαιμονίοις ἐνδώσειν τὴν πόλιν[2], οὐχ ὡς πιστεύων τοῖς τούτων

(1 Προπολεμεῖ] προπολεμέω, ῶ=μάχομαι ὑπέρ τινος· πρότερον ἢ ἔμπροσθεν τινὸς πολεμῶ, πρὸ ἄλλου τινὸς πολεμῶ· προμάχομαι, ὅθεν προπολεμητήριον, ταὐτὸν τῷ προμαχεών.

2) Ἐγὼ δ' οὔτε τοῖς συμμάχοις.... ἐνδώσειν τὴν πόλιν] Ἐγὼ δὲ νομίζω, ὅτι οὔτε εἰς τοὺς συμμάχους συμφέρει οἱ ἀσθενέστεροι νὰ γείνωσι δοῦλοι τῶν ἰσχυροτέρων, ἐπειδὴ καὶ τὸν παρελθόντα χρόνον ὑπὲρ τούτων τῶν ἀσθενεστέρων ἐπολεμήσαμεν, οὔτε οἱ Θηβαῖοι εἰς μανίαν τοσαύτην θέλουσι προέλθει, ὥστε ἀποχωρισθέντες τῆς συμμαχίας εἰς τοὺς Λακεδαιμονίους νὰ παραδώσωσι τὴν πόλιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἤθεσιν, ἀλλ' οἶδ' ὅτι γιγνώσκουσιν, ὡς δυοῖν θάτερον[1] ἀναγκαῖόν ἐστιν αὐτοῖς, ἢ μένοντας ἀποθνήσκειν καὶ πάσχειν, οἶά περ ἐποίησαν, ἢ φεύγοντας ἀπορεῖν καὶ τῶν ἐλπίδων ἁπασῶν ἐστερεῖσθαι. Πότερα γὰρ τὰ πρὸς τοὺς 35
πολίτας αὐτοῖς ἔχει καλῶς[2], ὧν τοὺς μὲν ἀποκτείναντες, τοὺς δ' ἐκ τῆς πόλεως ἐκβαλόντες διηρπάκασι τὰς οὐσίας, ἢ τὰ πρὸς τοὺς ἄλλους Βοιωτούς, ὧν οὐκ ἄρχειν μόνον ἀδίκως ἐπιχειροῦσιν, ἀλλὰ τῶν μὲν τὰ τείχη κατεσκάφασι, τῶν δὲ καὶ τὴν χώραν ἀπεστερήκασιν; ἀλλὰ 36
μὴν οὐδ' ἐπὶ τὴν ὑμετέραν πόλιν οἷόν τ' αὐτοῖς ἐπανελθεῖν ἐστιν, ἣν οὕτω συνεχῶς φανήσονται προδιδόντες. Ὥστ' οὐκ ἔστιν ὅπως βουλήσονται πρὸς ὑμᾶς ὑπὲρ τῆς ἀλλοτρίας[3] διενεχθέντες τὴν αὐτῶν πόλιν οὕτως εἰκῇ[4] καὶ προδήλως ἀποβαλεῖν, ἀλλὰ πολὺ κοσμιώτερον διακείσονται πρὸς ἁπάσας τὰς πράξεις, καὶ τοσούτῳ πλείω ποιήσονται θεραπείαν ὑμῶν, ὅσῳ περ μᾶλλον περὶ σφῶν

1) Θάτερον] 'Αττ. οὐδετ. κατὰ κρᾶσιν ἀντὶ, τὸ ἕτερον, πληθυντ. θάτερα. 'Αρσεν. ἅτερος, θατέρου, θατέρῳ· εὕρηται μέντοι καὶ θάτερος, μάλιστα δὲ καὶ ὁ θάτερος, θηλκ. ἡ τέρα, σπανίως δὲ καὶ καταχρηστικῶς θητέρα. Θάτερον = ἓν τῶν δύο, τὸ ἓν ἢ τὸ ἄλλο, τὸ ἄλλο ἢ τὸ ἐναντίον.

2) Ἔχει καλῶς] Τὸ ἔχω μετὰ διαφόρων ἐπιρρ. ἀποτελεῖ διαφόρους φράσεις δηλούσας κατάστασίν τινα ψυχικήν, σωματικὴν ἢ ἠθικήν· οὕτω καλῶς, φιλίως, δυσμενῶς, χαλεπῶς· ἔχει οὐδετέρου ῥήματος σημ. καὶ δύναται δὲ ν' ἀντικατασταθῇ διὰ τοῦ διάκειμαι.

3) Ἀλλοτρίας] τῆς χώρας δηλονότι τῶν Πλαταιέων, ἥτις δὲν ἀνήκει εἰς αὐτοὺς τοὺς Θηβαίους.

4) Εἰκῇ] Ἐπιρρ. τοῦ εἰκαῖος· ἀστόχαστα, ἀπερίσκεπτα, χωρὶς σκοπόν, ὅπως τύχῃ· β'. ἀνωφελῶς, μάταια, χωρὶς ἀποτέλεσμα, τοῦ κάκου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

37 αὐτῶν δεδίωσιν. Ἐπεδείξαντο δ' ὑμῖν, ὡς χρὴ τῇ φύσει χρῆσθαι τῇ τούτων, ἐξ ὧν ἔπραξαν περὶ Ὠρωπόν[1]· ὅτε μὲν γὰρ ἐξουσίαν ἤλπισαν αὐτοῖς ἔσεσθαι ποιεῖν, ὅ τι ἂν βουληθῶσιν, οὐχ ὡς συμμάχοις ὑμῖν προσηνέχθησαν, ἀλλ' ἅπερ ἂν εἰς τοὺς πολεμιωτάτους ἐξαμαρτεῖν ἐτόλμησαν· ἐπειδὴ δ' ἐκσπόνδους[2] αὐτοὺς ἀντὶ τούτων ἐψηφίσασθε ποιῆσαι, παυσάμενοι τῶν φρονημάτων ἦλθον ὡς ὑμᾶς, ταπεινότερον διατεθέντες ἢ νῦν ἡμεῖς τυγχά-
38 νομεν ἔχοντες. Ὥστ' ἤν τινες ὑμᾶς ἐκφοβῶσι τῶν ῥητόρων, ὡς κίνδυνός ἐστι, μὴ μεταβάλωνται καὶ γένωνται μετὰ τῶν πολεμίων, οὐ χρὴ πιστεύειν· τοιαῦται γὰρ αὐτοὺς ἀνάγκαι κατειλήφασιν, ὥστε πολὺ ἂν θᾶττον[3] τὴν ὑμετέραν ἀρχὴν ἢ τὴν Λακεδαιμονίων συμμαχίαν ὑπομείναιεν.

39 (ϛ'.) Εἰ δ' οὖν καὶ τἀναντία μέλλοιεν ἅπαντα πράξειν, οὐδ' οὕτως ἡγοῦμαι προσήκειν ὑμῖν τῆς Θηβαίων πόλεως πλείω ποιήσασθαι λόγον ἢ τῶν ὅρκων καὶ τῶν συνθηκῶν, ἐνθυμουμένους πρῶτον μέν, ὡς οὐ τοὺς κινδύνους ἀλλὰ τὰς ἀδοξίας καὶ τὰς αἰσχύνας φοβεῖσθαι πάτριον ὑμῖν ἐστιν, ἔπειθ' ὅτι συμβαίνει κρατεῖν ἐν τοῖς πολέμοις οὐ τοὺς βίᾳ τὰς πόλεις καταστρεφομένους

1) Περὶ Ὠρωπὸν] Κεῖται ὁ Ὠρωπὸς εἰς τὸ μεθόριον τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας· διὸ καὶ πολλάκις οἱ Ἀθηναῖοι καὶ οἱ Βοιωτοὶ πρὸς ἀλλήλους ἐπολέμησαν ὑπὲρ τῆς τοῦ χωρίου κτήσεως. Καὶ σήμερον οὕτω καλεῖται.

2) Ἐκσπόνδους] Τουτέστιν ἐκπτώτους ἢ ἀποκεκλεισμένους τῶν σπονδῶν τῆς εἰρήνης, καὶ ἑπομένως· ἀσπόνδους ἐχθρούς.

3) Θᾶττον] εὐκολώτερα, προθυμότερον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀλλὰ τοὺς ὁσιώτερον καὶ πραότερον τὴν Ἑλλάδα διοικοῦντας. (ιζ΄.) Καὶ ταῦτ᾽ ἐπὶ πλειόνων μὲν ἄν τις 40
παραδειγμάτων ἔχοι διελθεῖν· τὰ δ᾽ οὖν ἐφ᾽ ἡμῶν γενόμενα τίς οὐκ οἶδεν, ὅτι Λακεδαιμόνιοι τὴν δύναμιν τὴν ὑμετέραν ἀνυπόστατον δοκοῦσαν εἶναι κατέλυσαν, μικρὰς μὲν ἀφορμὰς εἰς τὸν πόλεμον τὸν κατὰ θάλατταν τὸ πρῶτον ἔχοντες[1], διὰ δὲ τὴν δόξαν ταύτην[2] προσαγόμενοι[3] τοὺς Ἕλληνας, καὶ πάλιν ὑμεῖς τὴν ἀρχὴν ἀφείλεσθε τὴν ἐκείνων, ἐξ ἀτειχίστου μὲν τῆς πόλεως ὁρμηθέντες καὶ κακῶς πραττούσης[4], τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον; καὶ τούτων ὡς οὐ βασιλεὺς αἴτιος ἦν[5] 41
ὁ τελευταῖος χρόνος σαφῶς ἐπέδειξεν· ἔξω γὰρ αὐτοῦ τῶν πραγμάτων γεγενημένου, καὶ τῶν μὲν ὑμετέρων ἀνελπίστως ἐχόντων, Λακεδαιμονίοις δὲ σχεδὸν ἁπασῶν τῶν πόλεων δουλευουσῶν, ὅμως αὐτῶν τοσοῦτον περιεγένεσθε πολεμοῦντες, ὥστ᾽ ἐκείνους ἀγαπητῶς[6] ἰδεῖν τὴν εἰρήνην γενομένην.

(ιη΄.) Μηδεὶς οὖν ὑμῶν ὀρρωδείτω μετὰ τοῦ δικαίου 42

1) Τὸ πρῶτον ἔχοντες] Κατὰ τὰ πρῶτα δηλονότι ἔτη τοῦ Πελοποννησιακοῦ πολέμου.

2) Διὰ δὲ τὴν δόξαν ταύτην] Ὅτι τὸν πρὸς τοὺς Ἀθηναίους πόλεμον ἀνέλαβον ἐπ᾽ ἀγαθῷ καὶ ἐλευθερίᾳ τῶν ἀσθενεστέρων Ἑλληνίδων πόλεων.

3) Προσαγόμενοι] ἑλκύοντες, φέροντες πρὸς ἑαυτούς, εἰς τὸ μέρος των.

4) Καὶ κακῶς πραττούσης] καὶ ἀσθενῶς ἐχούσης. Αἰνίττεται τὴν ἐποχὴν τοῦ Κόνωνος καὶ Χαβρίου καὶ Ἰφικράτους.

5) Οὐ βασιλεὺς αἴτιος ἦν] Ἡ τοῦ βασιλέως Ἀρταξέρξου δηλαδὴ μετὰ τῶν Ἀθηναίων συμμαχία.

6) Ἀγαπητῶς] μετὰ χαρᾶς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ποιούμενος τοὺς κινδύνους, μηδ᾽ οἰέσθω συμμάχων ἀπορήσειν, ἂν τοῖς ἀδικουμένοις ἐθέλητε βοηθεῖν ἀλλὰ μὴ Θηβαίοις μόνοις[1]· οἷς νῦν τἀναντία ψηφισάμενοι πολλοὺς ἐπιθυμεῖν ποιήσετε τῆς ὑμετέρας φιλίας. Ἢν γὰρ ἐνδείξησθ᾽ ὡς ὁμοίως ἅπασιν ὑπὲρ τῶν συνθηκῶν παρε-
43 σκεύασθε πολεμεῖν, τίνες εἰς τοῦτ᾽ ἀνοίας ἥξουσιν ὥστε μετὰ τῶν καταδουλουμένων εἶναι μᾶλλον ἢ μεθ᾽ ὑμῶν τῶν ὑπὲρ τῆς αὑτῶν ἐλευθερίας ἀγωνιζομένων;[2] εἰ δὲ μή, τί λέγοντες, ἢν πάλιν γένηται πόλεμος, ἀξιώσετε προσάγεσθαι τοὺς Ἕλληνας, ἢ τὴν αὐτονομίαν προτείνοντες ἐκδώσετε πορθεῖν Θηβαίοις, ἥντιν᾽ ἂν βούλωνται
44 τῶν πόλεων; πῶς δ᾽ οὐ τἀναντία φανήσεσθε πράττοντες ὑμῖν αὐτοῖς, εἰ Θηβαίους μὲν μὴ διακωλύσετε παραβαίνοντες τοὺς ὅρκους καὶ τὰς συνθήκας, πρὸς δὲ Λακεδαιμονίους ὑπὲρ τῶν αὐτῶν τούτων προσποιήσεσθε πολεμεῖν; Καὶ τῶν μὲν κτημάτων τῶν ὑμετέρων αὐτῶν ἀπέστητε, βουλόμενοι τὴν συμμαχίαν ὡς μεγίστην ποιῆσαι, τούτους δὲ τὴν ἀλλοτρίαν ἔχειν ἐάσετε καὶ τοιαῦτα ποιεῖν, ἐξ ὧν ἅπαντες χείρους εἶναι νομιοῦσιν

1) Μηδεὶς οὖν ὑμῶν ὀρρωδείτω... μὴ Θηβαίοις μόνοις] Ὅθεν μὴ φοβηθῇ μηδεὶς ὑμῶν τοὺς κινδύνους, ὅταν αὐτοὺς ποιήσῃ σύμμαχον ἔχων τὸ δίκαιον· μηδὲ νομίσῃ ὅτι μέλλει νὰ μείνῃ ἄπορος συμμάχων, ἐὰν θελήσῃ τοὺς ἀδικουμένους νὰ βοηθῇ, καὶ ὄχι τοὺς Θηβαίους μόνους.

2) Τίνες εἰς τοῦτ᾽ ἀνοίας... ἀγωνιζομένων;] τίνες εἰς τοσαύτην ἀνοησίαν θέλουσι προβῇ, ὥστε μετὰ τῶν καθιστώντων αὐτοὺς δούλους (τῶν Λακεδαιμονίων) νὰ ἦναι μᾶλλον, ἢ μεθ᾽ ὑμῶν τῶν ὑπὲρ τῆς ἐλευθερίας αὐτῶν ἀγωνιζομένων ;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὑμᾶς; ὃ δὲ πάντων δεινότατον, εἰ τοῖς μὲν συνεχῶς 45
μετὰ Λακεδαιμονίων γεγενημένοις δεδογμένον ὑμῖν ἐστι
βοηθεῖν, ἤν τι παράσπονδον[1] αὐτοῖς ἐκεῖνοι[2] προστάτ-
τωσιν, ἡμᾶς δ' οἳ τὸν μὲν πλεῖστον χρόνον μεθ' ὑμῶν
ὄντες διατετελέκαμεν, τὸν δὲ τελευταῖον μόνον πόλεμον
ὑπὸ Λακεδαιμονίοις ἠναγκάσθημεν γενέσθαι, διὰ ταύτην
τὴν πρόφασιν ἀθλιώτατα πάντων ἀνθρώπων περιόψεσθε
διακειμένους. (ιθ΄.) Τίνας γὰρ ἂν ἡμῶν εὕροι τις δυστυ- 46
χεστέρους[3], οἵτινες καὶ πόλεως καὶ χώρας καὶ χρημάτων
ἐν μιᾷ στερηθέντες ἡμέρᾳ, πάντων τῶν ἀναγκαίων
ὁμοίως ἐνδεεῖς ὄντες ἀλῆται[4] καὶ πτωχοὶ καθέσταμεν
ἀποροῦντες, ὅποι τραπώμεθα, καὶ πάσας τὰς οἰκήσεις
δυσχεραίνοντες· ἤν τε γὰρ δυστυχοῦντας καταλάβωμεν,

1) Παράσπονδον] Παράσπονδος ὁ, ἡ, οὐδ. ον, καὶ Ἐπιρρ.—όνδως (σπονδή). Ἐναντίον τῶν σπονδῶν πράττων, ἄπιστος· παραβάτης, χαλαστὴς τῶν σπονδῶν καὶ τῶν συνθηκῶν, Ξενοφ. Ἑλλ. Β΄. δ΄. 20. «Μηδὲν παράσπονδον ποιοῦντες,» μηδὲν ἐναντίον ἢ ἔξω τῶν σπονδῶν.

2) Ἐκεῖνοι] οἱ Λακεδαιμόνιοι.

3) Τίνας γὰρ ἂν ἡμῶν εὕροι τις δυστυχεστέρους... τὰς ἡμετέρας αὐτῶν ἀτυχίας ἐξετάζειν]. Σημειοῦ τὴν ἐκτραγῴδησιν ὅλην ταύτην τῶν κατὰ τοὺς Πλαταιέας συμφορῶν, οὐ μόνον ὡς πολὺ τὸ παθητικὸν μετὰ πλείστης καλλονῆς καὶ ῥητορείας ἐμφαίνουσαν, ἀλλὰ καὶ τοιαύτην ὑπάρχουσαν, οἵαν μικρὸν παρῳδήσαντα ταῖς ἔτι διαμενούσαις κοιναῖς τῆς Ἑλλάδος δυσπραγίαις ἐπιθρηνῆσαι.

4] Ἀλῆται] Ἀλήτης· πλάνης, περιπλανώμενος, ὁ τὰς χώρας περιοδεύων ἀγύρτης· «βίος ἀλήτης,» ζωὴ πλανημένη, μὲ χωρὶς κατάστασιν, ὅταν ζῇ τις τρέχων ἀπὸ ἕνα τόπον εἰς ἄλλον χωρὶς νὰ κατασταθῇ εἰς κανένα μέρος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀλγοῦμεν ἀναγκαζόμενοι πρὸς τοῖς οἰκείοις κακοῖς καὶ
47 τῶν ἀλλοτρίων κοινωνεῖν· ἣν θ' ὡς εὖ πράττοντας ἔλθωμεν, ἔτι χαλεπώτερον ἔχομεν, οὐ ταῖς ἐκείνων φθονοῦντες εὐπορίαις ἀλλὰ μᾶλλον ἐν τοῖς τῶν πέλας ἀγαθοῖς[1] τὰς ἡμετέρας αὐτῶν συμφορὰς καθορῶντες, ἐφ' αἷς ἡμεῖς οὐδεμίαν ἡμέραν ἀδακρυτὶ[2] διάγομεν ἀλλὰ πενθοῦντες τὴν μεταβολὴν τὴν γεγενημένην ἅπαντα τὸν χρόνον διατελοῦμεν.
48 Τίνα γὰρ ἡμᾶς οἴεσθε γνώμην ἔχειν ὁρῶντας καὶ τοὺς γονέας αὐτῶν ἀναξίως γηροτροφουμένους καὶ τοὺς παῖδας οὐκ ἐπὶ ταῖς ἐλπίσιν αἷς ἐποιησάμεθα παιδευομένους, ἀλλὰ πολλοὺς μὲν μικρῶν ἕνεκα συμβολαίων δουλεύοντας, ἄλλους δ' ἐπὶ θητείαν ἰόντας[3], τοὺς

1) Ἀλλὰ μᾶλλον ἐν τοῖς τῶν πέλας ἀγαθοῖς κτλ.] Ἀνθυποφορὰ τὸ σχῆμα, πολὺ τὸ κομψὸν καὶ τεχνικὸν ἔχουσα. Ἀλλ' ὦ Πλαταιεῖς, εἶπεν ἄν τις ἐπιτιμῶν, οὐκ αἰσθάνεσθε φθόνον αὐτοὶ ἑαυτῶν καταγινώσκοντες τῷ λέγειν, ὅτι βαρέως φέρετε τὴν μετὰ τῶν εὐπραγούντων ἀναστροφήν, καὶ συνοίκησιν. Ταύτην οἱ Πλαταιεῖς διαλυόμενοι τὴν αἰτίαν, οὐ λυπούμεθα, φασίν, ἐπὶ ταῖς ἐκείνων εὐπορίαις, ἀλλὰ πρὸς ταύτας ἀντιπαραβάλλοντες τὰς ἡμετέρας ἀπορίας, πολλῷ δεινοτέρας ἢ πρόσθεν εὑρίσκομεν.

2) Ἀδακρυτὶ] ἐπιρρ. χωρὶς δακρύων.

3) Μικρῶν ἕνεκα συμβολαίων δουλεύοντας, ἄλλους δ' ἐπὶ θητείαν ἰόντας]. Τί διαφέρει τοῦ θητὸς ὁ δοῦλος, διώρικεν Ἀριστλ. (Πολ. 3, 5) εἰπών· τῶν δ' ἀναγκαίων οἱ μὲν ἑνὶ λειτουργοῦντες τὰ τοιαῦτα, δοῦλοι· οἱ δὲ κοινῇ, βάναυσοι καὶ θῆτες, ἀναγκαῖα καλῶν ἔργα τὰ μὴ πρέποντα τοῖς ἐλευθέροις· ἔστιν οὖν τὸ μικρῶν ἕνεκα συμβολαίων δουλεύειν, τὸ δοῦλον ἑνός τινος εἶναι διὰ τὸ ἀπορεῖν μικροῦ ἀργυρίου. Ἐπὶ θητείαν ἰέναι ἢ θητεύειν, τὸ ἐπὶ μισθῷ ἄλλοις ἄλλοτε ἐργάζεσθαι· διότι θητεία = ἡμεροκάματον (τουτέστ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δ' ὅπως ἕκαστοι δύνανται τὰ καθ' ἡμέρανποριζομένους, ἀπρεπῶς καὶ τοῖς τῶν προγόνων ἔργοις καὶ ταῖς αὑτῶν ἡλικίαις καὶ τοῖς φρονήμασι τοῖς ἡμετέροις; Ὃ δὲ πάν- 49
των ἄλγιστον, ὅταν τις ἴδῃ χωριζομένους ἀπ' ἀλλήλων μὴ μόνον πολίτας ἀπὸ πολιτῶν ἀλλὰ καὶ γυναῖκας ἀπ' ἀνδρῶν καὶ θυγατέρας ἀπὸ μητέρων καὶ πᾶσαν τὴν συγγένειαν διαλυομένην, ὃ πολλοῖς τῶν ἡμετέρων πολιτῶν διὰ τὴν ἀπορίαν συμβέβηκεν· ὁ γὰρ κοινὸς βίος ἀπολωλὼς ἰδίας τὰς ἐλπίδας ἕκαστον ἡμῶν ἔχειν πεποίηκεν[1]. Οἶμαι δ' ὑμᾶς οὐδὲ τὰς ἄλλας αἰσχύνας ἀγνο- 50
εῖν τὰς διὰ πενίαν καὶ φυγὴν γιγνομένας, ἃς ἡμεῖς τῇ μὲν διανοίᾳ χαλεπώτερον τῶν ἄλλων φέρομεν, τῷ δὲ λόγῳ παραλείπομεν, αἰσχυνόμενοι λίαν ἀκριβῶς τὰς ἡμετέρας αὐτῶν ἀτυχίας ἐξετάζειν.

(κ'.) Ὧν αὐτοὺς ὑμᾶς ἀξιοῦμεν ἐνθυμουμένους ἐπι- 51
μέλειάν τινα ποιήσασθαι περὶ ἡμῶν. Καὶ γὰρ οὐδ' ἀλλότριοι τυγχάνομεν ὑμῖν ὄντες, ἀλλὰ ταῖς μὲν εὐνοίαις

ἡμερήσιος κάματος), ἡμεροδούλιον ἢ ἡμερομίσθιον καὶ θῆτες= οἱ ἡμεροχαματάριοι, οὓς καὶ μισθάργους οἱ νῦν Κύπριοι καλοῦσι. Τῷ αὐτῷ δ' ὀνόματι τῶν θητῶν ἐκαλεῖτο μέρος τι τῶν πολιτῶν Ἀθήνησιν· εἰς τέσσαρα γὰρ ὑπὸ Σόλωνος τῆς πολιτείας διῃρημένης, τοὺς Πενταχοσιομεδίμνους, τοὺς Ἱππέας, τοὺς Ζευγίτας, καὶ τοὺς Θῆτας, εὐπορώτατοι μὲν ἦσαν οἱ Πενταχοσιομέδιμνοι, ἀπορώτατοι δὲ οἱ Θῆτες, ὡς οὐδὲν ἔχοντες ἴδιον, ἀλλ' ἐκ τῆς ἐπὶ μισθῷ ἐργασίας ποριζόμενοι τὸν βίον παρ' ἄλλων.

1) Ἰδίας τὰς ἐλπίδας.. πεποίηκεν] Τουτέστι νὰ φροντίζῃ ἕκαστος αὐτῶν περὶ τῆς σωτηρίας καὶ τοῦ συμφέροντος μόνου τοῦ ἀτόμου, καὶ ὄχι περὶ τοῦ κοινοῦ συμφέροντος τῶν πολιτῶν, διότι ἤδη πολιτείαν δὲν εἶχον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἅπαντες οἰκεῖοι, τῇ δὲ συγγενείᾳ τὸ πλῆθος ἡμῶν· διὰ γὰρ τὰς ἐπιγαμίας[1] τὰς δοθείσας ἐκ πολιτίδων ὑμετέρων γεγόναμεν· ὥστ᾿ οὐχ οἷόν θ᾿ ὑμῖν ἀμελῆσαι, περὶ
52 ὧν ἐληλύθαμεν δεησόμενοι. Καὶ γὰρ ἂν πάντων εἴη δεινότατον, εἰ πρότερον[2] μὲν ἡμῖν μετέδοτε τῆς πατρίδος τῆς ὑμετέρας αὐτῶν, νῦν δὲ μηδὲ τὴν ἡμετέραν ἀποδοῦναι δόξειεν ὑμῖν. Ἔπειτ᾿ οὐδ᾿ εἰκὸς ἕνα μὲν ἕκαστον ἐλεεῖσθαι[3] τῶν παρὰ τὸ δίκαιον δυστυχούντων, ὅλην δὲ πόλιν οὕτως ἀνόμως διεφθαρμένην μηδὲ κατὰ μικρὸν οἴκτου δυνηθῆναι τυχεῖν, ἄλλως τε καὶ παρ᾿ ὑμᾶς καταφυγοῦσαν, οἷς οὐδὲ τὸ πρότερον αἰσχρῶς οὐδ᾿ ἀκλεῶς[4]
53 ἀπέβη τοὺς ἱκέτας ἐλεήσασιν. (κα΄.) Ἐλθόντων γὰρ Ἀργείων ὡς τοὺς προγόνους ὑμῶν καὶ δεηθέντων ἀνελέσθαι[5] τοὺς ὑπὸ τῇ Καδμείᾳ τελευτήσαντας[6], πεισθέντες ὑπ᾿

1) Διὰ γὰρ τὰς ἐπιγαμίας] «Ἐπιγαμία (φησὶν Ἡσύχιος), συγγένεια ἢ τὸ παρ᾿ ἄλλων ἄγεσθαι.» Ἔστι δὲ τοῦτο ἡ παρ᾿ ἡμῖν καλουμένη, συμπεθερία, ὡς καὶ συμπεθεριάζειν ἢ συμπεθερεύειν, φαμὲν αὐτὸ τὸ παρ᾿ ἀλλήλων ἄγεσθαι, ἢ ἐπιγαμίας ἀλλήλοις ποιεῖσθαι.

2) Πρότερον] Κατὰ τὰς ἀρχὰς τοῦ Πελοποννησιακοῦ πολέμου.

3) Ἕνα μὲν ἕκαστον ἐλεεῖσθαι] Αἰνίττεται τοὺς Ἡρακλείδας, καὶ πάντας τοὺς ἄλλους, ὅσοι εἰς τὸν βωμὸν τοῦ Ἐλέου κατέφυγον.

4) Ἀκλεῶς] Ἄνευ δόξης.

5) Ἀνελέσθαι] Νὰ σηκώσωσι, νὰ λάβωσι πρὸς ταφήν· Ἀναίρεσις δὲ ὁ ἐνταφιασμός.

6) Τοὺς ὑπὸ τῇ Καδμείᾳ τελευτήσαντας] Κατὰ τὸν πόλεμον τῶν Ἑπτὰ ἐπὶ Θήβας καλούμενον· ἤγουν τὸν πόλεμον, τὸν μεταξὺ τῶν δύο ἀδελφῶν Ἐτεοκλέους καὶ Πολυνείκους, υἱῶν τοῦ Οἰδίποδος. Ὁ Θησεὺς εἰσέτι ἤκμαζεν ἐν Ἀθήναις (1125 π. Χ.)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐκείνων καὶ Θηβαίους ἀναγκάσαντες βουλεύσασθαι νομιμώτερον οὐ μόνον αὐτοὶ κατ᾽ ἐκείνους τοὺς καιροὺς εὐδοκίμησαν, ἀλλὰ καὶ τῇ πόλει δόξαν ἀείμνηστον εἰς ἅπαντα τὸν χρόνον κατέλιπον, ἧς οὐκ ἄξιον προδότας γενέσθαι. Καὶ γὰρ αἰσχρὸν φιλοτιμεῖσθαι μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις, φαίνεσθαι δ᾽ ἐκείνοις τἀναντία περὶ τῶν ἱκετῶν πράττοντας.

(κβ΄.) Καίτοι πολὺ περὶ μειζόνων καὶ δικαιοτέρων 54
ἥκομεν ποιησόμενοι τὰς δεήσεις· οἱ μὲν γὰρ ἐπὶ τὴν ἀλλοτρίαν στρατεύσαντες ἱκέτευον ὑμᾶς, ἡμεῖς δὲ τὴν ἡμετέραν αὐτῶν ἀπολωλεκότες, κἀκεῖνοι μὲν παρεκάλουν ἐπὶ τὴν τῶν νεκρῶν ἀναίρεσιν, ἡμεῖς δ᾽ ἐπὶ τὴν τῶν λοιπῶν[1] σωτηρίαν. Ἔστι δ᾽ οὐκ ἴσον κακὸν οὐδ᾽ ὅμοιον 55
τοὺς τεθνεῶτας ταφῆς εἴργεσθαι καὶ τοὺς ζῶντας πατρίδος ἀποστερεῖσθαι καὶ τῶν ἄλλων ἀγαθῶν ἁπάντων, ἀλλὰ τὸ μὲν[2] δεινότερον τοῖς κωλύουσιν ἢ τοῖς ἀτυχοῦσι, τὸ δὲ μηδεμίαν ἔχοντα καταφυγὴν ἀλλ᾽ ἄπολιν[3] γενόμενον καθ᾽ ἑκάστην τὴν ἡμέραν κακοπαθεῖν καὶ τοὺς αὑτοῦ περιορᾶν μὴ δυνάμενον ἐπαρκεῖν, τί δεῖ λέγειν, ὅσον τὰς ἄλλας συμφορὰς ὑπερβέβληκεν;

1) Τῶν λοιπῶν] Τῶν περιλειφθέντων, τῶν μὴ ἀποθανόντων ἐν τῷ πολέμῳ τῷ πρὸς Θηβαίους.

2) Ἀλλὰ τὸ] Τὸ εἴργεσθαι ταφῆς. Ἐπειδὴ τοὺς ἀδίκους γενομένους περὶ τοὺς νεκρούς, διὰ τὴν ἀσέβειαν, ὄχι μόνον οἱ θεοί, ἀλλὰ καὶ πάντες οἱ ἄνθρωποι μισοῦσι, τὸ κακὸν ἐκεῖνο δεινότερον ἀποβαίνει εἰς τοὺς κωλύσαντας ἢ εἰς τοὺς ἀτυχήσαντας ταφῆς.

3) Ἄπολιν] Ἄπολις, οὐδ. ι, γεν. ιδος καὶ εως. Χωρὶς πόλιν, ὁ μὴ ἔχων πόλιν καὶ ἑπομένως πατρίδα, πολιτείαν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

56 (κγ'.) Ὑπὲρ ὧν ἅπαντας ὑμᾶς ἱκετεύομεν ἀποδοῦναι τὴν χώραν ἡμῖν καὶ τὴν πόλιν, τοὺς μὲν πρεσβυτέρους ὑπομιμνήσκοντες, ὡς οἰκτρὸν τοὺς τηλικούτους ὁρᾶσθαι δυστυχοῦντας καὶ τῶν καθ' ἡμέραν ἀποροῦντας, τοὺς δὲ νεωτέρους ἀντιβολοῦντες καὶ δεόμενοι βοηθῆσαι τοῖς ἡλικιώταις[1] καὶ μὴ περιιδεῖν ἔτι πλείω κακὰ τῶν εἰρη-
57 μένων παθόντας. Ὀφείλετε δὲ μόνοι τῶν Ἑλλήνων τοῦτον τὸν ἔρανον[2], ἀναστάτοις ἡμῖν γεγενημένοις ἐπαμῦναι. Καὶ γὰρ τοὺς ἡμετέρους προγόνους φασὶν ἐκλιπόντων τῶν ὑμετέρων πατέρων ἐν τῷ Περσικῷ πολέμῳ[3] ταύτην τὴν χώραν μόνους τῶν ἔξω Πελοποννήσου κοινωνοὺς ἐκείνοις τῶν κινδύνων γενομένους συνανασῶσαι τὴν πόλιν αὐτοῖς· ὥστε δικαίως ἂν τὴν αὐτὴν εὐεργε-

1) Καὶ δεόμενοι βοηθῆσαι τοῖς ἡλικιώταις] Τοὺς τὴν αὐτὴν ἡλικίαν ἔχοντας ἐκ τῶν Πλαταιέων. Παρακαλεῖ δὲ καὶ δέεται αὐτῶν, διότι αὐτοὶ πρὸ πάντων ἔμελλον μετὰ τῶν νεωτέρων Πλαταιέων νὰ διακινδυνεύσωσιν εἰς τὸν κατὰ τῶν Θηβαίων πόλεμον.

2) Ἔρανον] Ἔρανος· οἱαδήποτε συνεισφορά, ἐξαιρ. χρηματική, τὸ τουρ. ρεφενές, εἰς βοήθειαν πτωχῶν, ἐνδεῶν· ὅθεν ἐν γένει, φιλανθρώπευμα, εὐεργέτημα, φιλικὴ χάρις, φιλοφροσύνη, ὑπηρετικὴ προθυμία. Ἔτι δὲ καὶ τὸ νὰ εἶναι, γίνηταί τις μέτοχος πράγματός τινος, ἐξαιρετ. τῆς εὐχαριστίας τοῦ βοηθηθέντος. Ἰσοκρ. «ὀφείλειν τοῦτον τὸν ἔρανον ἀνθ' ὧν ἐκεῖνος αὐτῷ συνεκινδύνευσεν.»

3) Ἐκλιπόντων τῶν ὑμετέρων πατέρων ἐν τῷ Περσικῷ πολέμῳ] Ἐξέλιπον τὴν πόλιν, τουτέστιν ἀφῆκαν ταύτην ἔρημον οἱ Ἀθηναῖοι κατὰ τὴν συμβουλὴν τοῦ Θεμιστοκλέους, μικρόν τι πρὸ τῆς εἰσβολῆς τοῦ Ξέρξου εἰς τὴν Ἀττικήν. Ἀνάγνωθι περὶ τούτου κατανυκτικωτάτην ἐξιστόρησιν ὑπὸ τοῦ Πλουτάρχου εἰς τὸν βίον τοῦ Ἀριστείδου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σίαν ἀπολάβοιμεν, ἣν αὐτοὶ τυγχάνομεν εἰς ὑμᾶς ὑπάρ-
ξαντες. (κδ΄.) Εἰ δ᾽ οὖν καὶ μηδὲν ὑμῖν τῶν σωμάτων 58
τῶν ἡμετέρων δέδοκται φροντίζειν, ἀλλὰ τήν γε χώραν
οὐ πρὸς ὑμῶν ἐστιν ἀνέχεσθαι πεπορθημένην, ἐν ᾗ μέ-
γιστα σημεῖα τῆς ἀρετῆς τῆς ὑμετέρας καὶ τῶν ἄλλων
τῶν συναγωνισαμένων καταλείπεται[1]· τὰ μὲν γὰρ ἄλλα 59
τρόπαια πόλει πρὸς πόλιν γέγονεν, ἐκεῖνα δ᾽ ὑπὲρ ἁπάσης
τῆς Ἑλλάδος πρὸς ὅλην τὴν ἐκ τῆς Ἀσίας δύναμιν
ἕστηκεν. Ἃ Θηβαῖοι μὲν εἰκότως[2] ἀφανίζουσι, τὰ γὰρ
μνημεῖα τῶν τότε γενομένων αἰσχύνη τούτοις ἐστίν,
ὑμῖν δὲ προσήκει διασῴζειν· ἐξ ἐκείνων γὰρ τῶν ἔργων
ἡγεμόνες κατέστητε τῶν Ἑλλήνων. Ἄξιον δὲ καὶ τῶν 60
θεῶν καὶ τῶν ἡρώων μνησθῆναι τῶν ἐκεῖνον τὸν τόπον
κατεχόντων καὶ μὴ περιορᾶν τὰς τιμὰς αὐτῶν κατα-
λυομένας, οἷς ὑμεῖς καλλιερησάμενοι[3] τοιοῦτον ὑπέστητε

1) Εἰ δ᾽ οὖν καὶ μηδὲν ὑμῖν.... καταλείπεται] Ἀλλὰ καὶ ἂν ἤδη ἀπεφασίσατε παντάπασι νὰ μὴ φροντίσητε περὶ τῶν ὑμετέρων σωμάτων, τοὐλάχιστον δὲν ἁρμόζει εἰς ὑμᾶς ν᾽ ἀνέχησθε πεπορθημένην τὴν χώραν, εἰς τὴν ὁποίαν μέγιστα σημεῖα τῆς ἀρετῆς (ἀνδρίας) τῆς ὑμετέρας καὶ τῶν ἄλλων τῶν ἀγωνισθέντων Ἑλλήνων καταλείπονται.

2) Εἰκότως] εὐλόγως.

3) Καλλιερησάμενοι] Καλλιερέω, καὶ Μεσ. καλλιερρέομαι (καλὸν ἱερόν). Καλῶς τὰ ἱερὰ ποιῶ. Λέγεται ἐπὶ θυσίας, ὁπότε αὐτὴ εἶναι δεκτὴ εἰς τοὺς θεούς, καὶ τὰ ἐν τοῖς ἐντοσθίοις τοῦ ζῴου εὑρισκόμενα σημεῖα ἀποδεικνύουσιν, ὅτι εἶναι σύμφωνα μετὰ τοῦ ἐπιχειρήματος, ὅ ἐστιν, εἶναι κατὰ σκοπὸν, πρὸς ὄφελος καὶ εὐτυχίαν· ὅθεν, θυσιάζω μὲ καλοὺς οἰωνούς, ἀπολαμβάνω καλὰς προμαντείας περί τινος ἐπιχειρήματος litare, perlitare. Μετὰ ἀπαρεμφ. ς΄. 76. «Ἀπικόμενος

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κίνδυνον, ὃς καὶ τούτους[1] καὶ τοὺς ἄλλους ἅπαντας Ἕλληνας ἠλευθέρωσεν. Χρὴ δὲ καὶ τῶν προγόνων ποιήσασθαί τινα πρόνοιαν καὶ μὴ παραμελῆσαι μηδὲ τῆς
61 περὶ ἐκείνους εὐσεβείας, οἳ πῶς ἂν διατεθεῖεν, εἴ τις ἄρα τοῖς ἐκεῖ φρόνησίς ἐστι περὶ τῶν ἐνθάδε γιγνομένων, εἰ κυρίων ὑμῶν ὄντων αἴσθοιντο τοὺς μὲν δουλεύειν τοῖς βαρβάροις ἀξιώσαντας δεσπότας τῶν ἄλλων καθισταμένους, ἡμᾶς δὲ τοὺς ὑπὲρ τῆς ἐλευθερίας συναγωνισαμένους μόνους τῶν Ἑλλήνων ἀναστάτους γεγενημένους, καὶ τοὺς μὲν τῶν συγκινδυνευσάντων τάφους μὴ τυγχάνοντας τῶν νομιζομένων σπάνει τῶν ἐποισόντων, Θηβαίους δὲ τοὺς τἀναντία παραταξαμένους κρατοῦντας
62 τῆς χώρας[2] ἐκείνης; Ἐνθυμεῖσθε δ' ὅτι Λακεδαιμονίων μεγίστην ἐποιεῖσθε[3] κατηγορίαν, ὅτι Θηβαίοις χαριζόμενοι τοῖς τῶν Ἑλλήνων προδόταις ἡμᾶς τοὺς εὐεργέτας διέφθειραν. Μὴ τοίνυν ἐάσητε ταύτας τὰς βλασφημίας περὶ τὴν ὑμετέραν γενέσθαι πόλιν, μηδὲ τὴν ὕβριν τὴν τούτων ἀντὶ τῆς παρούσης ἕλησθε δόξης[4].

δ' ὧν ὁ Κλεομένης ἐπὶ τὸν ποταμὸν (Ἐρασῖνον), ἐσφαγιάζετο αὐτῷ καί, οὐ γὰρ οὐδαμῶς ἐκαλλιέρεε διαβαίνειν μιν.» Δὲν ηὗρε καλὰ σημεῖα διὰ νὰ περάσῃ τὸν ποταμόν, τὰ σημεῖα τοῦ προέλεγον δυστυχίαν ἂν διέλθῃ τὸν ποταμόν.

1) Καὶ τούτους] Τοὺς Θηβαίους. Ἐπειδὴ καὶ οὗτοι μετέλαβον τῆς κοινῆς τῶν Ἑλλήνων ἐλευθερίας μετὰ τὴν περὶ Πλάταιαν τῶν βαρβάρων καταστροφήν.

2) Χώρας] ἱερᾶς.

3) Ἐποιεῖσθε] Τότε, ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου.

4) Μὴ τοίνυν ἐάσητε.. ἕλησθε δόξης.] Μὴ λοιπὸν τόρα ἐπιτρέψητε ἡ βλασφημία αὐτὴ νὰ προσαφθῇ περὶ τὴν ὑμετέραν πόλιν, μηδὲ τὴν ὕβριν τὴν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

(κε'.) Πολλῶν δ' ὄντων εἰπεῖν[1], ἐξ ὧν ἄν τις ὑμᾶς ἐπαγάγοι[2] μᾶλλον φροντίσαι τῆς ἡμετέρας σωτηρίας, οὐ δύναμαι πάντα περιλαβεῖν, ἀλλ' αὐτοὺς χρὴ καὶ τὰ παραλελειμμένα συνιδόντας καὶ μνησθέντας μάλιστα μὲν τῶν ὅρκων καὶ τῶν συνθηκῶν, ἔπειτα δὲ καὶ τῆς ἡμετέρας εὐνοίας καὶ τῆς τούτων ἔχθρας, ψηφίσασθαί τι περὶ ἡμῶν δίκαιον. 63

τούτων ἀντὶ τῆς παρούσης νὰ προτιμήσητε δόξης.

1) Πολλῶν δ' ὄντων εἰπεῖν] Πολλὰ μὲν ἔχει νὰ εἴπῃ τις.

2) Ἐπαγάγοι] Ἐπάγω. Τροπκ. Παρακινῶ, πείθω, καταπείθω τινὰ εἴς τι, τῷ δίδω πρόφασιν, ἀφορμὴν νὰ κάμῃ τι. Ἐξ ὧν ἄν τις ὑμᾶς ἐπαγάγοι, ἐκ τῶν ὁποίων ἤθελεν ἐφελκύσει ὑμᾶς.

ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΑΤΑΣΤΗΜΑΤΑ ΕΝ ΑΘΗΝΑΙΣ
ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ

## ΓΝΩΣΤΟΠΟΙΗΣΙΣ

Γίγνεται γνωστὸν εἰς ἅπαντας τούς τε μαθητὰς τῶν γυμνασίων τοῦ Κράτους, τοὺς φοιτητὰς τῆς φιλολογίας καὶ τοὺς ἐν γένει ἐνδιατρίβοντας εἰς τὴν τῶν ἀρχαίων συγγραφέων ἀνάγνωσιν ὅτι ἐν τοῖς ἡμετέροις καταστήμασιν εὑρίσκονται πάντα σχεδὸν τὰ βοηθητικὰ βιβλία πρὸς κατανόησιν τῶν ἀρχαίων κειμένων, ἤτοι ΣΧΟΛΙΑ καὶ ΜΕΤΑΦΡΑΣΕΙΣ τῶν πλείστων Ἑλλήνων καὶ Λατίνων συγγραφέων, τῶν μᾶλλον ἐν χρήσει καὶ ὑπὸ διδασκαλίαν. Τὴν σειρὰν τῶν βοηθητικῶν τούτων βιβλίων ἐλπίζομεν νὰ συμπληρώσωμεν λίαν προσεχῶς ἐκδίδοντες ὡς οἷόν τε τὰ κράτιστα ὑπὸ εἰδικῶν φιλολόγων ἐκπεπονημένα, μετὰ τῶν ἀναγκαίων ἑρμηνευτικῶν σχολίων καὶ ἀνελλιπῶν μεταφράσεων, δι' ὧν οὐ μόνον ἡ σπουδάζουσα νεότης εὐκολύνεται εἰς τὴν σπουδὴν τῆς ἀρχαίας κλασικῆς φιλολογίας, ἀλλὰ καὶ εἰς πάντα ἄλλον καθίσταται προσιτὸς ὁ πλοῦτος αὐτῆς.

**Τιμᾶται δραχ. 2,50.**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής